ISTITUTO DI STUDI BIZANTINI E NEOELLENICI
UNIVERSITÀ DI ROMA
CON IL CONCORSO DEL CONSIGLIO NAZIONALE DELLE RICERCHE

ANALECTA HYMNICA GRAECA

E CODICIBUS ERUTA ITALIAE INFERIORIS

IOSEPH SCHIRÒ
CONSILIO ET DUCTU EDITA

VIII

CANONES APRILIS

CONSTANTINUS NIKAS
COLLEGIT ET INSTRUXIT

ROMA 1970

TIPOGRAFIA S. PIO X - VIA DEGLI ETRUSCHI, 7-9 - ROMA

MANU SCRIPTA E QUIBUS CARMINA SUMPTA SUNT

Do *Crypt. Δ.α. VIII*, s. XII (a. 1114?), membran., mm 250×180, Nilus II hieromonachus exscripsit Menaeum aprilis. Cfr. A. Rocchi, *Codices Cryptenses seu Abbatiae Cryptae Ferratae*, Tusculani 1883, 303-304.

Ck *Crypt. Δ.α. XVII*, s. XI, membran., mm 240×180, calligrapho Carbonensi exaratus. Menaeum martii et aprilis. — Cfr. A. Rocchi, op. cit., 318-319.

Mh *Mess. gr. 121* (ϱμξ'), s. XII, membran., mm 230×180. Menaeum martii, aprilis et maii, initio mutilum. Fragmentum Octoechi. — Cfr. A. Mancini, *Codices graeci Monasterii Messanensis S. Salvatoris*, Messanae 1907, 188.

Mf *Mess. gr. 136* (ϱκδ'), s. XIII, membran., mm 230×250: Insiticia sunt codicis initio mutili explendi causa addita ff. 1-9. Officium S. Basilii. Menologium ianuarii-augusti. Cfr. A. Mancini, op. cit., 198.

Ma *Mess. gr. 139* (πβ'), s. XII, membran., mm 255×195. Menaeum Anthologium mutilum. — Cfr. A. Mancini, op. cit., 200.

Aa *Lauriota Δ. 37*, s. XIII, membran., mm 260×180, ff. 139. Menaeum martii-aprilis. Initio ζ' martii et fine ιη' aprilis. — Cfr. Spyridon mon. - S. Eustratiadis, *Catalogue of the Greek manuscripts in the library of the Laura on mount Athos*, Cambridge 1925, 56.

Q *Paris. gr. 13* (*Colbert 121*) *G*, s. XIII, membran., mm 390×290: Psalmi. Paracletica. Menaeum septembris - augusti cuius partim desunt maius et iunius. Officia in aquae benedictionem. Triodium. Epistulae Pauli. — Cfr. H. Omont, *Inventaire sommaire des manuscripts grecs de la Bibliothèque Nationale*, I, Paris 1886, 3.

Pq *Paris gr. 341*, s. XIV (a. 1325), membran. et bombyc., mm 220×150. Menaeum martii - aprilis. — Cf. H. Omont, op. cit., II, 34.

Py *Paris. gr. 1564* (*Reg. 2476*) *M*, s. XI, membran., mm 31[illegible]×240. Menaeum aprilis. — Cfr. H. Omont, op. cit., III, Paris 1888, 97.

Rf *Paris gr. 1565* (*Mazarin. - Reg. 2478*) *P*, s. XIV, membran., mm 250×160. Menaeum aprilis. — Cfr. H. Omont, op. cit., III, 97.

Pt *Paris. gr. 1573* (*Reg. 2473*) *M*, s. XV, chartac., mm 293×210. Menaeum martii - aprilis. — Cfr. H. Omont, op. cit., III, 98.

Pu *Paris. gr. 1574* (*Reg. 2474*) *M*, s. XV (a. 1404), chartac., mm 293×208. Menaeum martii, aprilis et maii, Andrea Ταβουλλάριος exscripsit. — Cfr. H. Omont, op. cit., III, 98.

Pv *Paris. gr. 1575* (*Mazarin. - Reg. 2475*) *M*, s. XII, membran., mm 290×193. Menaeum martii - augusti. — Cfr. H. Omont, op. cit., III, 98.

Re *Paris. gr. 1618* (*Colbert 4261*) *P*, s. XIV, membran., mm 235×172. Menaeum aprilis. — Cfr. H. Omont, op. cit., III, 108.

Sc *Paris. Suppl. gr. 152* (*Dominicains.*) *M*, s. XIII, membran., mm. 277×197. Menologii pars II, martii-augusti. — Cfr. H. Omont, op. cit., IV, Paris 1888, 225.

H *Paris. Coislin gr. 309*, s. XIV, membran., mm 243×183. Menaeum martii, aprilis et maii. — Cfr. R. Devreesse, *Catalogue des manuscripts grecs, Le fonds Coislin*, Paris 1945, 299. — H. Omont, op. cit., IV, 180.

Πg *Patm. gr. 901*, s. XIV, membran., mm 215×165. Menaeum aprilis.

Wh *Vat. gr. 1212*, s. XI, membran., mm 200×158, ff. 160. Anthologium - menaeum decembris - aprilis. Initio S. Nicolaum (6 dec.) fine S. Marcum apostolum (25 apr.). — Cfr. Inventarium Allacci (cdd. 993-1962/2124-2160. Biblioteca Vaticana (Sala Cataloghi N° 323). — *BMGV* p. 557.

Vq *Vat. gr. 1547* (*olim 1551*), s. XII, membran., mm 165×120. Anthologium sive officiorum delectus in potiores anni festivitates. — Cfr. C. Giannelli, *Codices Vaticani Graeci*, 1950, 123-126. — *BMGV* p. 606.

Vm *Vat. gr. 2008* (ex Basilian. XLVII), a. 1102, membran., ff. 186, mm 245×205. Menaeum Ianuarii - aprilis (init. apr. f. 128 et fin. f. 171v). Pars secunda continet kontakia et pars tertia continet idiomela. — Cfr. G. Schirò, *Stefano Italogreco*, in "Bollettino della Badia Greca di Grottaferrata", n.s. 1, 1947, 57-58. — *BMGV* p. 670.

Bh *Barber. gr. 450*, s. XII, membran., mm 238×200, ff. 130. Menaeum martii, aprilis et maii. Initio XIII martii et fine XXVI maii. — Cfr. Seymour de Ricci, *Liste sommaire des manuscripts grecs de la Bibliotheca Barberina*, Paris 1907, 34. — *BMGV* p. 152.

Bd *Barber. gr. 460*, s. XII, membran., mm 235×170, ff. 140. Menaeum ian. - aprilis. Cosmae canones in hypapantem f. 23 et Job f. 63v. Initio aprilis f. 126. — Cfr. Seymour de Ricci, op. cit., 35. - S. Pieralisi, *Inventarium codicum mmss. bibliothecae Barberinae*, II (419-590). — *BMGV* p. 153.

Lo *Reg. gr. 61*, s. XII, membran., mm 225×175, varia manu scriptus. Menaeum martii, aprilis et maii, initio ac fine mutilum. — Cfr. H. Stevenson, *Codices manuscripti Graeci Reginae Svecorum et Pii PP II*, ex Typografeo Vaticano, Romae 1888, 52.

Lp *Reg. gr.* (*Pii PP II*) 32, s. XII, membran., ff. 49, quorum 1-27 s. XIV, mm 213×170. Duo ergo sunt codices in unum compacti. Pars secunda menaeum continet aprilis. — Cfr. H. Stevenson, op. cit., 155.

Ea *Vallic. gr. E 54*, s. XII, membran., mm 246×200. Constat ex duobus cdd., quorum alter s. XIII. Librum in Italia meridionali scriptum. Menaeum decembris ff. 1-88v, martii ff. 89-161v et aprilis ff. 161v-235v. — Cfr. E. Martini, *Catalogo di manoscritti Greci esistenti nelle biblioteche italiane*, II, Milano 1902, 118-119.

S I G L A

cr. = acrostichis, acrostichidis, acrostichide

d. = codex, codicis

dd. = codices, codicum, codicibus

d. = edidit, editus, editum, edita

eirm. = heirmos, heirmoi

nc. = incipit

m. = omittit, omittunt, omittitur, omittuntur, omissum, omissa

εοτ. = θεοτοκίον

άθ., καθ. = κάθισμα, καθίσματος

οντάκ., κοντακ., = κοντάκιον, κοντακίου

ἶκ., οἴκ. = οἶκος, οἴκου

ταυροθεοτ. = σταυροθετοκίον, σταυροθεοτοκίου

ριαδ. = τριαδικὸν

A.SS. = *Acta Sanctorum*. Antverpiae / Bruxellis / Tongerloae / Parisiis 1643-1940.

Αγιολόγιον = Σ. Εὐστρατιάδου, *Ἁγιολόγιον τῆς ὀρθοδόξου ἐκκλησίας*. Ἐν Chennevières-sur-Marne, 1935.

GIORITIS = Νικοδήμου Ἁγιορείτου, *Συναξαριστὴς τῶν δώδεκα μηνῶν τοῦ ἐνιαυτοῦ*, I-II, Ἀθήνησι 1868.

HG = *Analecta Hymnica Graeca e codicibus eruta Italiae inferioris*, Ioseph Schirò *consilio et ductu edita*, I *Canones Septembris*, Ada Debiasi Gonzato *collegit et instruxit*, Roma 1966.

K = Amfilokhij (Sergievskij), *arkhimandr.*, *Kondakarij v grečeskom podlinnike* XII-XIII *v. po rukopisi Moskovskoj synodal'noj biblioteki* N. 437 ... Moskva 1879.

n. = *Ἀκολουθίαι τῶν ἀνωνύμων ... Ἀκολουθία τῆς ἁγίας Μεταλήψεως, καὶ αἱ θεῖαι Λειτουργίαι τῶν ἐν ἁγίοις πατέρων ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου καὶ Βασιλείου τοῦ μεγάλου* ... [Romae, curante Ph. Vitali] 1738.

nal. Boll. = *Analecta Bollandiana*. Bruxellis.

Anth. = *Ἀνθολόγιον*... I-III (Sept.-Dec., Ian.-Apr., Maii-Aug.). [Romae, curante Ph. Vitali] 1738.

BBG = *Bollettino della Badia greca di Grottaferrata*. Grottaferrata.

B.H.G.[3] = *Bibliotheca Hagiographica Graeca*, III[e] édition... par F. Halkin. Bruxelles 1957. (Subsidia Hagiographica 8a).

B.H.L. = *Bibliotheca Hagiographica Latina*, I-II. Bruxelles 1898-1901.

B.H.O. = *Bibliothèque Hagiographique Orientale*, édit. par L. Clugnet. Paris 1901-1905.

BGMV = P. Canart – V. Peri, ***Sussidi bibliografici per i manoscritti greci della biblioteca vaticana***. Studi e Testi 261, Vaticano 1970.

BNJ = Byzantinisch-neugriechische Jahrbücher. Internationales wissenschaftliches Organ. Berlin/Athen.

Byzantion = *Byzantion*. Revue internationale des Études Byzantines. Paris-Liège-Bruxelles-[Boston].

BZ = *Byzantinische Zeitschrift*. Leipzig-München.

Doukakis = Κ. Δουκάκη, *Μέγας Συναξαριστὴς πάντων τῶν ἁγίων*, I-XII. (Jan.-Dec.). Ἐν Ἀθήναις 1889-1896.

EE = Σ. Εὐστρατιάδου, *Εἱρμολόγιον*. Chennevières-sur-Marne 1932. (Ἁγιορειτικὴ Βιβλιοθήκη 9).

EEBΣ = *Ἐπετηρὶς Ἑταιρείας Βυζαντινῶν Σπουδῶν*. Ἀθῆναι.

EL = *Ephemerides Liturgicae*. Roma.

EPh = *Ἐκκλησιαστικὸς Φάρος*. Ἐν Ἀλεξανδρείᾳ.

ER = *Εὐχολόγιον τὸ μέγα* ... Ἐν Ῥώμῃ 1873.

ETh = Σ. Εὐστρατιάδου, *Θεοτοκάριον*, I. Chennevières-sur-Marne 1931. (Ἁγιορειτικὴ Βιβλιοθήκη 7-8).

Eustratiadis, *Ταμεῖον* = Σ. Εὐστρατιάδου, *Ταμεῖον Ἐκκλησιαστικῆς ποιήσεως*. Ἐκκλησιαστικὸς Φάρος. Ἐν Ἀλεξανδρείᾳ.

EV = *Εὐχολόγιον τὸ μέγα* ... Ἔκδοσις δευτέρα, σπουδῇ καὶ ἐπιστασίᾳ Σπυρίδωνος ἱερομον. Ζερβοῦ. Ἐν Βενετίᾳ, Φοῖνιξ, 1862.

GIB = G. Giovanelli, *Gli inni sacri di S. Bartolomeo Juniore*. Badia Greca di Grottaferrata 1955. (Innografi Italo-greci 3).

GBL[2] = K. Krumbacher, *Geschichte der byzantinischen Litteratur*, München 1897.

HC = *Ὡρολόγιον ... κατὰ τὴν ἔκπαλαι τάξιν οὐ μὴν ἀλλὰ καὶ τυπικὸν τοῦ τῆς Κρυπτοφέρρης μοναστηρίου ...* Ἐν Ῥώμῃ 1677.

HR = *Ὡρολόγιον τὸ μέγα.* Ἐν Ῥώμῃ 1876.

Μηναῖα = *Μηναῖα τοῦ ὅλου ἐνιαυτοῦ,* I-VI. Ἐν Ῥώμῃ 1888-1901.

MR = id. id.

MV = *Μηναῖα* ... διορθωθέντα ὑπὸ Βαρθολομαίου Κουτλουμουσιανοῦ τοῦ Ἰμβρίου, I-XII (Sept.-Aug.). Βενετία, Φοῖνιξ, 1895.

NS = *Νέα Σιών.* Ἐκκλησιαστικὸν περιοδικὸν σύγγραμμα. Ἐν Ἱεροσολύμοις.

NTh = Νικοδήμου Ἁγιορείτου, *Θεοτοκάριον ... περιέχον ἑξηκονταδύω κανόνας πρὸς τὴν ὑπεραγίαν Θεοτόκον ... ἐκδοθὲν τὸ πρῶτον ...* Βενετία, Φοῖνιξ, 1883.

PaR = *Παρακλητικὴ ἤτοι Ὀκτώηχος ἡ μεγάλη.* Ἐν Ῥώμῃ 1885.

PAS = J. B. PITRA, *Analecta Sacra spicilegio Solesmensi parata,* I-IV. Parisiis-Tusculi-Venetiis 1876-1884.

Pent = *Πεντηκοστάριον... ἐν ᾧ καὶ προσετέθη ἡ παλαιὰ Ἀκολουθία τῆς ἑβδομάδος τῆς Διακαινησίμου, σὺν τοῖς Τριῳδίοις μετὰ τὸ Ἀντιπάσχα.* [Romae, curante Ph. Vitali] 1738.

PG = MIGNE, *Patrologia Graeca.* Lutetiae Parisiorum 1857-1866.

PID = *Παρακλητικὸν σὺν Θεῷ ἁγίῳ τῆς ὑπεραγίας Θεοτόκου. Ποίημα τοῦ ὁσίου Πατρὸς ἡμῶν Ἰωάννου τοῦ Δαμασκηνοῦ* ... [Romae, curante Ph. Vitali] 1738.

Synax. CP. = H. DELEHAYE, *Synaxarium Ecclesiae Constantinopolitanae* (Propylaeum ad Acta Sanctorum Novembris). Bruxellis 1902.

Synaxarium = id. id.

Th = *Θεολογία.* Περιοδικὸν ἐπιστημονικὸν σύγγραμμα. Ἐν Ἀθήναις.

TR = *Τριῴδιον κατανυκτικόν, περιέχον ἅπασαν τὴν ἀνήκουσαν αὐτῷ ἀκολουθίαν τῆς ἁγίας καὶ μεγάλης Τεσσαρακοστῆς.* Ἐν Ῥώμῃ 1879.

ANALECTA HYMNICA

IN SANCTAM MARIAM AEGYPTIACAM

Synaxarium, 577-580: Αὕτη ἐξ Αἰγύπτου ἦν, ἐν ἀκολασίᾳ δὲ τὸ πρότερον ζήσασα..... ἐπὶ χρόνοις δεκαεπτὰ τῇ ἀσελγείᾳ προσμείνασα..... ὕστερον ἐπέδωκεν ἑαυτὴν πρὸς ἄκραν ἐγκράτειαν καὶ ἀρετήν· καὶ τοσοῦτον ὑψώθη δι' ἀπαθείας, ὡς καὶ τοῖς ὕδασιν ἐπιβαίνειν καὶ πεζῇ διαπερᾶν, καὶ ἐν τῷ προσεύχεσθαι μετάρσιος φαίνεσθαι ἄνω εἰς τὸν ἀέρα ἱπταμένη..... Κατὰ τὸν καιρὸν τῆς τοῦ τιμίου ξύλου ὑψώσεως,..... ἀκολάστοις νέοις καὶ αὕτη συνεξωρμήθη. Κατὰ τὸν τόπον δὲ γενομένη καὶ ἀοράτως τῆς τῶν σεπτῶν εἰσόδου καὶ ἐποπτείας κωλυομένη, τὴν θεομήτορα παρθένον ἐγγυητὴν ἔθετο, εἰ τὴν εἴσοδον συγχωρηθείη, σωφροσύνην μὲν ἀνελέσθαι, μηκέτι δὲ βίῳ πονηρῷ καὶ ταῖς σαρκικαῖς δουλεύειν ἡδοναῖς καὶ ἐπιθυμίαις. Καὶ μέντοι τῆς εὐχῆς τυχοῦσα τὴν ὑπόσχεσιν οὐκ ἐψεύσατο· ἀλλὰ περαιωθεῖσα τὸν Ἰορδάνην καὶ γενομένη κατὰ τὴν ἔρημον, ἐπὶ χρόνοις τεσσαράκοντα ἑπτὰ ἠγωνίσατο· καὶ μηδένα μὲν ἀνθρώπων τὸν δὲ Θεὸν μόνον ἔχουσα θεατήν, τῆς ἀνθρωπίνης φύσεως ἐπανέστη, τὴν δὲ ἀγγελικὴν ἐπὶ γῆς ἀγωγὴν καὶ πολιτείαν ἀνεκτήσατο. Ὕστερον δὲ κατὰ θείαν πρόνοιαν ὤφθη Ζωσιμᾷ τῷ ἁγίῳ γέροντι εἰς τὰ ἐνδότερα τῆς ἐρήμου ἐκβαθύναντι· καὶ συντυχοῦσα καὶ τὰ κατ' αὐτὴν διηγησαμένη καὶ εἰς τὸν ἐπιόντα χρόνον τὸν Ἰορδάνην πεζῇ διαπεραιώσασα καὶ τῶν θείων μυστηρίων παρὰ τοῦ ἁγίου Ζωσιμᾶ μεταλαβοῦσα, εἶτα εἰς τὸν ἑαυτῆς ὑποστρέψασα τόπον αὐθωρόν, ἐν ᾧ τὸν Ζωσιμᾶν συνέτυχεν, ἐκοιμήθη. Εἰς δὲ τὸν ἐπιόντα ἐνιαυτὸν ὁ Ζωσιμᾶς καταλαβὼν τὴν ἔρημον καὶ ἀπελθὼν εὗρε τὸ αὐτῆς λείψανον καὶ ἔθαψε, λέοντος τοῦ θηρὸς τοῖς ἐμπροσθίοις ποσὶ τὸν τῆς μακαρίας τάφον ὀρύξαντος προνοίᾳ Θεοῦ.

Vat. gr. 2008	=	Vm, ff. 128-129v
Crypt. Δ.α. VIII	=	Do, ff. 1-2

Ὁ κανὼν φέρων ἀκροστιχίδα·
Δέχου ἀνάγνων χειλέων, μῆτερ, ὕμνον[νς].

Ἦχος β'.

ᾠδὴ α'. *Ἄισωμεν τῷ κυρίῳ*
τῷ ἐν θαλάσσῃ πάλαι
λαὸν καθοδηγήσαντι
καὶ ἐν αὐτῇ τὸν Φαραὼ
πανστρατὶ βυθίσαντι
ᾠδὴν ἐπινίκιον
ὅτι δεδόξασται.

Δέχου χειλέων, μῆτερ,
ἐξ ἀκαθάρτων ὕμνον,
Μαρία παναοίδιμε,
καὶ ἀντιπέμποις μοι παθῶν
λύσιν ταῖς πρεσβείαις σου
καὶ λόγον ὑμνῆσαί σου
τὴν μνήμην σήμερον.

Ἔτεινεν ἐπὶ ξύλου
σταυροῦ Χριστὸς παλάμας
διὰ βροτῶν τὴν λύτρωσιν·
καὶ νῦν σταυροῦ μαρμαρυγαῖς
παθῶν σε συγχύσεως
φωτίσας ἐρρύσατο,
μῆτερ, ὡς εὔσπλαγχνος.

28v ‖ Χρόνῳ με τυραννοῦσα
ἡ πονηρά, θεόφρον,
συνήθεια βιάζεται
καὶ παρὰ γνώμην τὰ δεινὰ
πράττειν με τὸν δείλαιον·
ταῖς θείαις πρεσβείαις σου
ταύτης με λύτρωσαι.

Do, aliquibus excisis foliis, mutilum tradit canonem: desunt vv. 1-103
heirm. α' EE 38, n. 52, Joannis 6 ἐπινίκιον ᾠδὴν Vm, verborum collocatio cum pede ipsius carminis discrepat

θεοτ. Ὅλος ἐπιθυμία
ὁ ἐκ γαστρός σου, κόρη,
τεχθεὶς ὑπάρχει κύριος,
ὃν ὁλοψύχως ἡ σεμνὴ
Μαρία ποθήσασα,
παθῶν σκότος ἔλυσε
φωτί σου, δέσποινα.

ᾠδὴ γ'. *Ἐν πέτρᾳ με τῆς πίστεως στερεώσας*

Ὑψούμενον τὸ ξύλον τὸ ἀνυψῶσαν
τὴν φύσιν τῶν ἀνθρώπων τῇ συνεργίᾳ
τῆς μόνης θεοτόκου ἀξιωθεῖσα,
μῆτερ, θεάσασθαι
καὶ περιπτύξασθαι,
τῶν παθῶν τὴν θάλασσαν
διεπέρασας.

Ἀκράδαντον ὡς ὅπλον τὴν προστασίαν
κατέχουσα τῆς μόνης ἀπειρογάμου,
δαιμόνων πονηρίας καὶ μεθοδείας
στερρῶς νενίκηκας
ἐν πίστει κράζουσα·
« ὡς οὐκ ἔστιν ἄλλος
πλήν σου, κύριε ».

Νεκρόν με γεγονότα τῇ ἁμαρτίᾳ
καὶ κείμενον εἰς βάραθρον ἀσωτίας,
ταῖς θείαις ἱκεσίαις σου μὴ παρίδῃς,
ἀλλ' ἀνακάλεσαι,
Μαρία πάνσεμνε,
ὡς ἐκ πείρας ἔχουσα
τὴν συμπάθειαν.

θεοτ. Ἁγία θεοτόκε, ἡ προστασία
τοῦ κόσμου, ἡ Μαρίαν τὴν Αἰγυπτίαν

---

heirm. γ' EE 38, n. 51, Cosmae

θαλάσσης ἁμαρτίας λυτρωσαμένη,
αὐτῆς δεήσεσι
κἀμὲ ἐλέησον
καὶ παθῶν συγχύσεως
ἐλευθέρωσον.

ᾠδὴ δ'. *Τὴν ἐκ παρθένου σου γέννησιν*

Γῆν τῶν παθῶν καταλείψασα
τὴν πατρῴαν ὡς πάλαι
Ἀβραὰμ ὁ θαυμαστός,
τῆς ἀπαθείας κατέλαβες θεῖον λιμένα,
ἔνθα τὸν ποτέ σε
ἀπατήσαντα, μῆτερ,
θείῳ σθένει
κατεπάτησας ἐχθρόν.

Νεύματι πάλαι τὴν θάλασσαν
θεϊκῷ ὁ θεόπτης
διαρρήξας Μωυσῆς
ἐπαγγελίας εἰς πέφθακεν τὴν γῆν· αὐτὴ δὲ
τῶν παθῶν, Μαρία,
διελθοῦσα πελάγη
εἰσῳκίσθης
εἰς λιμένα τῆς ζωῆς.

Ὡραϊσμένη, πανόλβιε,
τῷ ὡραίῳ νυμφίῳ
σὺν ἀγγέλων στρατιαῖς
παρισταμένη, ἱκέτευε τὸν σὲ τιμῶντα
πάσης ἁμαρτίας
καὶ παθῶν λυτρωθῆναι

heirm. δ' EE 43, n. 57, Andreae   57 καταλήψασα Vm   68 αὐτῇ Vm

57-59 Gen. 12,1   65-68 Ex. 14,21-22

καὶ παγίδων
πολυτρόπων τοῦ ἐχθροῦ.

θεοτ. Νύξ με βαθεῖα τὸν δείλαιον
τῶν παθῶν περιέχει,
μητροπάρθενε ἁγνή,
ἀλλ' ὡς τὸ ἄδυτον τέξασα φῶς, θεοτόκε,
πρόφθασον καὶ σῶσον
καὶ φωτὶ ἀπαθείας
καταυγάσασα,
οἶκον δεῖξόν με φωτός.

ᾠδὴ ε'. *Ὅτι νὺξ τῶν παθῶν*

Χαλεπὸν νοητῶς
τῆς ἁμαρτίας χείμαρρον,
τὸ ῥεῦμα δὲ αἰσθητῶς
τὸ ἰορδάνιον
σὺ διελθοῦσα ἀβλαβῶς,
ὅρος ἔφθασας τῆς ἀπαθείας.

Ἐν ἐρήμῳ σπουδῇ,
πανόλβιε, χωρήσασα,
ἠρήμωσας τῶν παθῶν
τὴν ἐπανάστασιν,
πῦρ περιφέρουσα σαφῶς
θείου ἔρωτος ἐν τῇ καρδίᾳ.

θεοτ. Ἰσχυρόν σε, ἁγνή,
ὅπλον Μαρία ἔχουσα
ἡ Αἰγυπτία, ἐχθροὺς
ἀσάρκους ᾔσχυνε·
ταύτης δεήσεσι κἀμὲ
περιφύλαττε, θεογεννῆτορ.

87 καταυγάσας Vm
heirm. ε' EE 46, n. 62, Theodori Studitae

ᾠδὴ ϛ'. *Τύπος*
τῆς τριημέρου σου ταφῆς
καὶ τῆς ἀναστάσεως, κύριε,

Λάκκῳ
ἐν κατωτάτῳ τῶν παθῶν
πάλαι ἐμπεσοῦσα, ἀοίδιμε,
ἀπάτῃ τοῦ πονηροῦ,
εἰς ὕψος ἀπαθείας
Θεοῦ τῇ εὐσπλαγχνίᾳ
ἀνηνέχθης καὶ φωτὸς
ἀϊδίου κατηξίωσαι.

Ἔχουσα
ἐν καρδίᾳ θεϊκῆς
πῦρ ἀγάπης, μῆτερ, κατέφλεξας
f. 129 || ἀπάτης τοὺς λογισμοὺς
καὶ πάθη τὰ δυσώδη,
τὴν μόνην θεοτόκον
βοηθὸν καὶ συνεργὸν
κεκτημένη, παναοίδιμε.

Ὦσας
εἰς ἁμαρτίας με βυθὸν
ὁ ἐχθρὸς δολίως ἀπέρριψεν·
καὶ κεῖμαι πτῶμα δεινὸν
γελώμενος πρὸς τούτου·
Μαρία φωτοφόρε,
ἀνακάλεσαι πρὸς φῶς
ἀπαθείας ταῖς πρεσβείαις σου.

θεοτ. Νέον
ὁ πρὸ αἰώνων ἐκ πατρὸς
γεννηθεὶς παιδίον ἐξέλαμψας
παρθένου, Λόγε Θεοῦ·

heirm. ϛ' EE 42, n. 56, Andreae cognomine Τυφλός 3 κύριε] δέσποτα EE

107-108 Cfr. Lam. 3,55

διὸ τοὺς τῷ ἁγίῳ
προσελθόντας ζυγῷ σου
παρθενίᾳ, λυτρωτά,
καὶ ἁγνείᾳ περιφύλαττε.

ᾠδὴ ζ'. *Ἐν τῇ φλογοφόρῳ καμίνῳ*

Μύρων αἰσθητῶν δυσωδίαν
καὶ ᾠδῶν ἀσέμνων λαγνείαν
φυγοῦσα, τῷ μύρῳ τῷ κενωθέντι
ἐκ παρθένου ἠκολούθησας
καὶ εὐωδίας νοητῆς
ἐνεπλήσθης, μῆτερ.

Ἥλιος ὁ ἄδυτος πάλαι
ἔγνω τὴν αὐτοῦ ἐν σοὶ δύσιν
καὶ σκότους θηρία ἐν σοὶ συνήχθη·
ἐξανέτειλε δὲ αὖθίς σοι
καὶ διεσκέδασε παθῶν
τὴν ζοφώδη νύκτα.

Τοὺς τὴν φωτοφόρον σου μνήμην
νῦν ἐπιτελοῦντας ἐν πόθῳ,
Μαρία θεόφρον, ταῖς σαῖς πρεσβείαις
περιφύλαττε καὶ λύτρωσαι
παθῶν αἰσχρῶν καὶ λογισμῶν
καὶ ἐχθροῦ παγίδων.

θεοτ. Ἔχων σε θερμὴν προστασίαν
πλῆθος μυριάδων κυκλούντων
αἰσχρῶν λογισμῶν μου καταδιώξω
καὶ φωτὶ καταυγασθήσομαι
τοῦ ἀνατείλαντος ἐκ σοῦ
ὑπὲρ νοῦν, παρθένε.

heirm. ζ' EE 42, n. 56, Andreae cognomine Τυφλός 140 ὁδῶν Vm 159 μου] με Do

145-146 Ps. 103,19

ᾠδὴ η΄. *Παῖδες ἅγιοι*
καμίνῳ βεβλημένοι ποτὲ

Ῥύπον ἅπαντα
καὶ βάρος ἁμαρτίας, σεμνή,
ἐκ σοῦ ἀποθεμένη διεπέρασας,
ὡς ἡ πάλαι Θεοῦ
διὰ ξηρᾶς κιβωτός,
τὸν ῥοῦν τὸν ἰορδάνιον·
καὶ γὰρ προδιελήλυθας
τὸ ἀνυπόστατον ὕδωρ,
θεόφρον, τῶν παθῶν θείᾳ χάριτι.

Ὕψος φθάσασα
τῆς θείας ἀπαθείας, σεμνή,
ὑψοῦσαι ἀπὸ γῆς καὶ ὡς ἀσώματος
ἐν ἀέρι φρικτῶς
ἐπιτελεῖς τὰς εὐχάς·
ὅ, νενευκὼς εἰς τοὔδαφος,
κατανοῶν, ἐξίσταται
καὶ λογισμοῖς συγκλονεῖται
ὁ γέρων Ζωσιμᾶς ὁ θαυμάσιος.

Μύστης ἅγιος
τῶν θείων μυστηρίων Χριστοῦ
μυστήρια ἰδὼν ἐν σοὶ πανάγαστα,
μυστηρίων φρικτῶν
σοὶ προσκομίζει, σεμνή,
μερίδα τῇ κελεύσει σου,
ἧς μετασχοῦσα, ὥδευσας
μιᾷ ῥοπῇ τὴν εἰκάδι
πρὸς τούτου ἡμερῶν ἀνυσθεῖσαν ὁδόν.

θεοτ. Νέοι πάλαι σε
τρεῖς παῖδες ἐν καμίνῳ, ἁγνή,

---

heirm. η΄ EE 47, n. 62, Theodori Studitae 177 ὅ] ὃν Do 178 ἐξίστατο Do 180 γέρων] γερέρων (sic) Do

---

166-168 Gen. 7,17-18 190-192 Dan. 3,46-50

ἐτύπουν μυστικῶς· καὶ γὰρ ὡς ἄφλεκτος
τέξασα θεϊκὸν
διεφυλάχθης τὸ πῦρ,
οὕτω παρθένοις σώμασιν
τὴν φλόγα κατεπάτησαν·
διὸ βοῶ σοι· « σαρκός μου
τὰ πάθη, θεοτόκε, κατάφλεξον ».

ᾠδὴ θ΄. *Τῶν γηγενῶν τίς ἤκουσε τοιοῦτον*

Ὅνπερ τὸ πρὶν παρώργισας δεσπότην
τῇ ἐνεργείᾳ τῶν κακῶν,
τῇ τῶν καλῶν ἐργασίᾳ
ὕστερον, ἔνδοξε,
καὶ θεραπεύεις καὶ τέρπεις καὶ κατευφραίνεις·
διό σε καὶ δοξάζων
θῆρας κινεῖ
ἐνταφιάσαι σου σῶμα
τὸ ἁγνότατον.

Νῦν τριφεγγοῦς φωτὸς ἐν τοῖς ὑψίστοις
ἐμφορουμένη δαψιλῶς
καὶ τὴν ἁγίαν παρθένον
καὶ θεομήτορα
μετὰ παρθένων, Μαρία, δορυφοροῦσα,
τοὺς πόθῳ σε ὑμνοῦντας
σαῖς προσευχαῖς
ἐν παρθενίᾳ στηρίζοις
καὶ ἁγνότητι.

Νόμοις, σεμνή, ἐπαίνων ὑποκύπτει
ἡ ἀρετή σου οὐδαμῶς,
f. 129v ‖ ἀλλὰ τολμήσαντι πόθῳ
ἀνευφημῆσαί σε
νέμοις συγγνώμην καὶ λύσιν μοι ὀφλημάτων
καὶ πάθη κατευνάζοις

---

192 ἐτύπου Do
heirm. θ΄ EE 47, n. 62, Theodori Studitae 200 κακῶν] παθῶν Do

τὰ τῆς σαρκός,
ὅπως, ἁγνῶς βιοτεύων,
μακαρίζω σε.

θεοτ. * Σὲ τὸν ἁγνῆς παρθένου, Θεοῦ Λόγε,
ἐξανατείλαντα, θερμῶς
ἐπιθυμοῦμεν· Θεὸν γὰρ
πλήν σου οὐκ οἴδαμεν
καὶ σοὶ συνθήκας ἐθέμεθα τοῦ ἁγνεύειν·
αὐτὸς οὖν ταῖς πρεσβείαις
τῆς σῆς μητρὸς
ταύτας ἡμᾶς ἐκπληρῶσαι
καταξίωσον.

226-234 θεοτ. in BBG n.s. 4 (1950) 104 227 θερμῶς] ἁγνῶς BBG θερμῶ Do 233 ἡμᾶς om. in BBG

IN SANCTAM MARIAM AEGYPTIACAM

Crypt. Δ.α. XVII = Ck, ff. 113v-119

Ὁ κανὼν φέρων ἀκροστιχίδα·
Μαρίαν ὑμνῶ τὴν κυρίως ὁσίαν.

Ἦχος β΄.

ᾠδὴ α΄. *Συνεπάγη πρὸς ἑαυτὴν συσταλεῖσα*
ὑδάτων φύσις διάρροος
ἐρυθραῖον δὲ κῦτος
ὁ Ἰσραὴλ ἀβρόχοις
ἴχνεσι διεβιβάζετο
ἔπαινον τῷ σωτῆρι
θεηγόροις προσᾴδων ἐν ᾄσμασιν.

Μαρτυρίων τῆς τοῦ Θεοῦ βασιλείας
μεγίστων θείων πεπλήρωται
ὁ ἱερός σου βίος
οἷα δὴ φῶς τὴν χάριν
ἅπασι λάμπον τοῦ πνεύματος,
ἣν ἐδέξω, Μαρία,
ἐκποδὼν κρουσαμένη τὰ μάταια.

---

tit. Ἕτερος κανὼν φέρων ... cd. alternatis odis duos canones praebet: prior· Ἀγλαΐας τῆς πλησιφαοῦς, MR IV, 227-233, alter sequitur quem huc referimus canon.

heirm. α΄ EE 40, n. 54, Cypriani 2 διάρρους EE 6 ἔπαινον] ἄποινον cd. 7 προσάγων EE

Ἀραμένη τὸν τοῦ Χριστοῦ ῥωμαλέως
σταυρὸν ἐπ' ὤμων, ἀοίδιμε,
ἠκολούθησας τούτῳ
ἔξω σαρκὸς καὶ κόσμῳ
μάλιστα οὐ χρηματίσασα·
ὅθεν σε ὑμνοῦμεν
οἱ πιστοὶ καταχρέως ἐν ᾄσμασιν.

Ῥυπωθεῖσα ταῖς ἡδοναῖς ἀκολάστοις
καὶ πλημμελείαις τὸ πρότερον,
τῇ ψυχῇ ἐλευκάνθης
δαυϊτικοῖς ῥιφθεῖσα
δάκρυσι νῦν σὺν τῷ σώματι
ὄντως ὑπὲρ χιόνα,
ὥσπερ ἥλιος λάμψασα πνεύματι.

τριαδ. Διαιροῦντες προσωπικῶς τὴν ἁγίαν,
f. 114 πιστοί, τριά‖δα, δοξάσωμεν
τὸν πατέρα τῆς δόξης
καὶ τὸν υἱὸν καὶ θεῖον
πνεῦμα πατρόθεν χωρούμενον,
ἄναρχον τῇ οὐσίᾳ,
ἀδιαίρετον φύσει Θεὸν ἡμῶν.

θεοτ. Παρθενεύεις ὑπερφυῶς καὶ τεκοῦσα
μετὰ τὸν τόκον, ἀνύμφευτε
θεοτόκε Μαρία,
πεῖραν ἀνδρὸς μὴ γνοῦσα·
σὺ γὰρ τοὺς νόμους τῆς φύσεως
μόνη ὤφθης λαθοῦσα,
ἡ Θεὸν ἐν σαρκὶ γαλουχήσασα.

---

10 τοῦτο   12 οὐ] σὺ scriptum videtur   26 χορούμενον

---

18 Cfr. Ps. 6,6; 38,12; 55,9; 114, 8

ᾠδὴ γ'. *Φρουρὸς ἀσφαλὴς*
καὶ ἄσειστον ἔρεισμα

Ἰδοὺ τὴν ὀσφὺν
ἐν χάριτι ζώσασα
δυνάμει Θεοῦ
ἀνδρισαμένη στερρῶς,
ἐξῆλθες εἰς πάλην τοῦ ἐχθροῦ
καὶ παράταξιν, ἐν τῇ ἐρήμῳ
τὰ τρόπαια τῆς νίκης ἐγείρουσα.

Ἀεὶ ἐμπαθῶς
τὸν βίον διάγουσα
καὶ μόνον αἰσχρῶς
κρίνασα πάντοτε ζῆν,
συνεισῆλθες εἰς Ἱερουσαλήμ,
καταλείψασα τὴν ἐν Αἰγύπτῳ
ἀσέλγειαν τῆς πλάνης τοῦ ὄφεως.

f. 114v ‖ Νεοῦ ἱεροῦ
τὴν εἴσοδον φθάσασα,
τοῦ θείου σταυροῦ
ἐφιεμένης τυχεῖν,
ἀθρόως κεκώλυσαι ὁρμᾶν
τῆς ἐλεύσεως, ἀλλ' ἐν αἰσθήσει
καρδίας γεναμένη ἐδάκρυσας.

τριαδ. Πατέρα ὑμνῶ,
υἱὸν ὁμοούσιον

---

heirm. γ' EE 40, n. 54, Cypriani

50-54 AA.SS. Aprilis I, (1675) XVII, § 22 (= PG 87,3713): Τοὺς μὲν ἄλλους ὁ ναὸς εἶχεν οὐδενὸς ἐμποδίζοντος, ἐμὲ δὲ μόνην τὴν τάλαιναν οὐκ ἐδέχετο ..... οὕτω δέ τις ἀθρόα διεκώλυεν δύναμις, καὶ πάλιν ἱστάμην εἰς τὰ προπύλαια.
55-56 AA.SS. XVII, § 23 (= PG 87,3713): Καὶ μόλις ποτὲ ἐν συναισθήσει τῆς αἰτίας τῆς κωλυούσης με ἰδεῖν τὸ ζωοποιὸν ξύλον, γεγένημαι ..... Ἠρξάμην δὲ κλαίειν καὶ ὀδύρεσθαι καὶ τὸ στῆθός μου τύπτειν.

καὶ πνεῦμα ὁμοῦ,
τὸν ἐπὶ πάντων Θεὸν
προσώποις τεμνόμενον τρισίν,
διαιρούμενον ἀδιαιρέτως·
ὑπάρχει γὰρ τῇ φύσει ἀμέριστος.

θεοτ. Θηλάζεις, ἁγνή,
τῷ θείῳ σου γάλακτι
τὸν κτίστην Θεὸν
ἐκ σοῦ τεχθέντα σαρκὶ
καὶ τρέφεις τὸν πλάστην τῆς ζωῆς,
τὸν ἐκτρέφοντα πᾶσαν τὴν κτίσιν,
μεθ' οὗ σε ἀνυμνοῦντες γεραίρομεν.

Κάθισμα.

Ἦχος πλ. α'. *Τὸν συνάναρχον Λόγον*

Τοῦ σταυροῦ ταῖς ἀκτῖσιν
καταυγασθεῖσα τὸν νοῦν
....

Ἄλλο.

Ἦχος πλ. δ'. *Τὴν σοφίαν τοῦ Λόγου*

Τὰ σκιρτήματα πάντα
τὰ τῆς σαρκὸς
....

f. 115 ‖ ᾠδὴ δ'. *Προβλεπτικῶς ὁ προφήτης*

Ὑπὸ πολλῶν ὠθουμένη
τῶν ἀντωθουμένων ἐκ σοῦ
ἐν τῷ ναῷ εἰσιοῦσα,
οὗ ὁ σταυρὸς τιμᾶται ὁ θεῖος
καὶ ἀποκαμοῦσα ἐν τούτοις τὴν ἰσχύν,
πρὸς τὴν εἰκόνα
τῆς πανενδόξου δεσποίνης
ἀτενίσασα, ἔνδον γεγένησαι.

κάθ. BNJ 11, (1934-1935) 327 alterum κάθ. MR IV, 228
heirm. δ' ΕΕ 40, n. 54, Cypriani

Μετὰ χαρᾶς εὐχαρίστως
αὖθις παρεγένου τομῶς,
σεμνή, πρὸς τὴν ἀνάδοχον,
ἣν θεοτόκον εἶδεν ὁ Λόγος,
« δέσποινα, » βοῶσα « τὸ σὸν σὺ ἐπ' ἐμοί,
ὡς ἐπὶ πᾶσιν,
φιλάνθρωπον ἐπεδείξω,
ἀλλὰ μήν, ὅπου θέλεις, ὁδήγησον ».

Νοῦν, ἀκοὴν καθαρθεῖσα,
ἤκουσας ἐνθέου φωνῆς,
χρησμόν τινα δηλοῦσάν σοι,
ὡς ἂν τὸν Ἰορδάνην διέλθῃς
καὶ κατασκηνώσῃς ἐπέκεινα αὐτοῦ,
καλὴν εὑρήσεις
τὸν εὐεργέτην ζητοῦσα
μετὰ πίστεως πόθου ἀνάπαυσιν.

τριαδ. Τὴν τρισυπόστατον φύσιν
τῆς μιᾶς ἀνάρχου ἀρχῆς
θεότητος τιμήσωμεν,
φῶς εὐσεβῶς πατέρα ὑμνοῦντες,
φῶς τὸν γεννηθέντα υἱὸν ἐκ τοῦ πατρὸς
καὶ φῶς τὸ θεῖον
καὶ ὁμοούσιον πνεῦμα,
ἀδιαίρετον μίαν θεότητα.

f. 115v θεοτ. ‖ Ἁγνή, τὸ κλέος τὸ θεῖον,
σὺ τὸν τοῦ ἀνάρχου πατρὸς
υἱὸν ἐν χρόνῳ τέτοκας,
ᾧ ὅλως οὐ τολμᾷ ἀτενίσαι
αἱ ταξιαρχίαι τῶν ἄνω στρατιῶν·

---

106 ᾧ] ὦ

83-94 AA.SS. XVIII, § 25 (= PG 87,3716): Νῦν ὅπου κελεύεις ὁδήγησον· νῦν γενοῦ μοι μᾶλλον τῆς σωτηρίας διδάσκαλος, χειραγωγοῦσα πρὸς τὴν ὁδὸν τὴν εἰς μετάνοιαν ἄγουσαν. Καὶ ταῦτα λέγουσα, ἤκουσα πόῤῥωθεν κράζοντος· Ἐὰν τὸν Ἰορδάνην διέλθῃς, καλὴν εὑρήσεις ἀνάπαυσιν.

καὶ τῆς κατάρας
ἠλευθερώθημεν πάντες
διὰ τῆς τοῦ υἱοῦ σου ἐλλάμψεως.

ᾠδὴ ε΄. *Ζωὴ πεφυκὼς καὶ φῶς ἀπρόσιτον*
ὑπάρχων, Χριστὲ ὁ Θεός,
τῆς ζοφερᾶς ἀχλύος
διασκεδάσας τὴν ἀχλύν,
φωταγώγησον ἡμῶν
τὰς διανοίας
τὰς νοερὰς αἰσθήσεις
τῷ ἀδύτῳ σου φέγγει τῆς γνώσεως.

Ὡς πῦρ ἐξαφθεῖσα θείῳ ἔρωτι
τῆς ὁδοῦ ἐφόδιον
λαβοῦσα νῦν τρεῖς ἄρτους,
χαίρειν τε πᾶσιν εἰποῦσα
τοῖς μακροῖς καὶ τοῖς ἐγγύς,
τὸν Ἰορδάνην
καταλαβοῦσα, ἐν τούτῳ
λουσαμένη, μετέσχες τῆς χάριτος.

Τῷ θείῳ νεῷ αὐτόθι τρίβουσα
τοῦ Προδρόμου, ἔλαβες
καὶ ἐν αὐτῷ ἀξίως
τῶν τοῦ Χριστοῦ μυστηρίων,
μετασχοῦσα τῶν φρικτῶν
f. 116 ‖ καὶ ἀθανάτων,

heirm. ε΄ EE 40, n. 54, Cypriani 3 ἀχλύος] ἀγνοίας EE
117 τοῦτο

111-126 AA.SS. XVIII, § 26 (= PG 87,3716): Τρεῖς ἐξ αὐτῶν ἠγόρασα ἄρτους, καὶ τούτους ἔλαβον εὐλογίας ἐφόδιον . . . . . Ἐρωτήσει δὲ φθάνουσα τὴν ἐρώτησιν . . . . . κατέλαβον λοιπόν, τοῦ ἡλίου πρὸς τὴν δύσιν κλίναντος, τὸν ναὸν Ἰωάννου τοῦ Βαπτιστοῦ, τὸν κείμενον τοῦ Ἰορδάνου σύνεγγυς. Καὶ πρότερον ἐν τῷ ναῷ προσκυνήσασα, κατῆλθον εἰς τὸν Ἰορδάνην αὐτίκα, καὶ πρόσωπον καὶ χεῖρας ἐξ ἐκείνου τοῦ ἁγίου ὕδατος ἔβρεξα· μετέλαβον δὲ τῶν ἀχράντων καὶ ζωοποιῶν μυστηρίων ἐν τῷ ναῷ τοῦ Προδρόμου.

τὸν Ἰορδάνην τότε
ἐν ἐρήμῳ εἰσῆλθες περάσασα.

Ἡ γῆ τῆς ἐρήμου ἀναβόησον
Μαρίας τὰ ἔπαθλα,
ὁ Ζωσιμᾶς παρίτω
καὶ εἰς τὸ μέσον ἀχθήτω,
διηγείσθω δὲ αὐτὸς
ἐκεῖνα πάντα,
ἅπερ ἰδὼν ἐξέστη
ἐν ἐρήμῳ εὑρὼν τὴν ἀοίδιμον.

τριαδ. Τὸν ἕνα Θεόν, σὲ πάντες μέλπομεν
ὡς κτίστην καὶ κύριον,
πάτερ, υἱὲ καὶ πνεῦμα,
ἡ τρισυπόστατος φύσις,
διαιροῦντες εὐσεβῶς
τὰς ὑποστάσεις
καὶ ἐν ταὐτῷ ἑνοῦντες
τῆς μιᾶς ὁλοκλήρου θεότητος.

θεοτ. Σκηνὴ τοῦ Θεοῦ ἐδείχθης, ἄχραντε,
καὶ θρόνος οὐράνιος
τοῦ πάντων βασιλέως·
τῶν Σεραφὶμ γὰρ ἐπάνω
ὑπερέβης ἀληθῶς,
αὐτὸν ἐν μήτρᾳ,
πανάμωμε, δεξαμένη,
ὃν τεκοῦσα, παρθένος διέμεινας.

ᾠδὴ ς΄. *Τὴν ἐκ βάθους καρδίας*

Ναζωραίων τὸ κλέος,
μοναζόντων καύχημα, Μαρίας τὸ διήγημα,
Ζωσιμᾶ μακάριε, σπουδῇ
f. 116v φρά‖σον, λέγε, μὴ κρύψῃς τὸ τάλαντον·

129 παρεῖτο
heirm. ς΄ EE 40, n. 54, Cypriani

θησαυρὸς γὰρ ἀφανὴς
καὶ γνῶσις κεκτημένη ἀνώφελος.

« Κατὰ νόμον ἐξ ἔθους
δηλαδή », φησίν, « ἐγὼ τὴν ἔρημον διήνυον
καὶ ταύτην ὁδεύων ἀκλινῶς,
ἐν καιρῷ προσευχῆς ἀπεσκόπησα
ἀποσκίασμα φανὲν
ὡς ἀνθρωπίνου σκήνους καὶ ἔσκαλον ».

« Ὑποπτεύων ὡς ἄρα
μὴ φάσμα δαιμόνιον ὑπάρχῃ τὸ ὁρώμενον
τῷ τύπῳ σφραγίσας ἑαυτὸν
τοῦ τιμίου σταυροῦ, ἀντεώρακα
κατ' ἀλήθειαν τινὰ
τῷ σώματι ὡς μέλαν ὑπάρχοντα ».

« Ῥοπῇ τῆς προθυμίας
εὐτόνως τῷ σώματι, χαροποιὸς τῷ πνεύματι
ἐντεῦθεν γενόμενος, δραμὼν
ἐπ' ἐκεῖνο τὸ μέρος ἐδίωκον
ἐφ' ὃ ἔσπευδεν λαβεῖν
ὁ φεύγων τοῦ λαθεῖν με τὸν γέροντα ».

τριαδ. Τὴν ἐν τρισὶ προσώποις
ὑμνουμένην ἄναρχον, ἁπλῆν, μίαν θεότητα,
πατέρα ὑμνῶ σὺν τῷ υἱῷ

158 διήνοιον (sic) 162 ἔσχαλον 168 ὑπάρχοντι 173 ἔσπευδον

157-159 AA.SS. XV, § 9 (= PG 87,3704): Τότε τοίνυν Ζωσιμᾶς τῷ συνήθει νόμῳ τοῦ μοναστηρίου τὸν Ἰορδάνην ἐπέρασε . . . . . Καὶ τὸν μὲν κανόνα διετέλει, τὴν ἔρημον διερχόμενος.

160-174 AA.SS. XV, § 10 (= PG 87,3705): Ὁρᾷ ἐκ δεξιοῦ κλίτους, ἐν ᾧ ἑστὼς τὴν ἕκτην προσηύχετο, ἀποσκίασμα φανὲν ὡς ἀνθρωπίνου σώματος. Καὶ τὰ πρῶτα μὲν ἐταράττετο, φάσμα δαιμονικὸν ὑποπτεύων ὁρᾶν, καὶ γέγονε σύντρομος τῷ δὲ σημείῳ τοῦ σταυροῦ σφραγισάμενος [καὶ τὸν φόβον ἀποσεισάμενος] ⟨ἤδη γὰρ τέλος εἶχεν ἡ εὐχὴ αὐτοῦ⟩ ἐπιστρέψας τὸ ὄμμα, ὁρᾷ τινα κατ' ἀλήθειαν πρὸς μεσημβρίαν βαδίζοντα· γυμνὸν δὲ ἦν τὸ ὁρώμενον, μέλαν τῷ σώματι . . . . . περιχαρὴς τῷ παραδόξῳ θεάματι, ἤρξατο τρέχειν ἐπ' ἐκεῖνο τὸ μέρος, ἐφ' ᾧ καὶ τὸ ὁρώμενον ἔσπευδεν.

162 Ps. 76,7

καὶ τὸ πνεῦμα ὡσαύτως τὸ ἅγιον
προσκυνῶν δοξολογῶ,
τριάδα ἐν μονάδι θεότητος.

θεοτ. Ἡ σύλληψίς σου ξένη
καὶ ὁ τρόπος ἄληπτος τῆς σῆς, ἁγνή, κυήσεως·
οἷος νοῦς ἐφίκοιτο βροτῶν,
οἵα γλῶσσα ἐξείποι, πῶς τίκτουσα,
πῶς λοχεύουσα υἱὸν
κρατοῦσα παρθενεύεις, πανάχραντε.

Κοντάκιον.

Ἦχος δ'. *Ἐπεφάνης σήμερον*

Εἰς κακίας ἄβυσσον κατενεχθεῖσα,
ἀρετῶν ἀνέδραμες
πρὸς ἀκροτάτην κορυφὴν
πολλοῖς ἱδρῶσι καὶ πόνοις σου
τῆς ὁμωνύμου
Μαρίας ἐντεύξεσιν.

Ἄλλο.

Ἦχος δ'. *Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ*

Τῆς ἁμαρτίας τὴν ἀχλὺν ἐκφυγοῦσα
. . . .

f. 117 ‖ Ὁ οἶκος. *Τῇ Γαλιλαίᾳ*

Ὄφιν τὸν πάλαι ἐν Ἐδὲμ
. . . .

heirm. κονταχ. HC, 391 alterum κοντάκ. HR, 223 οἰκ. PAS I, 443

ᾠδὴ ζ΄. *Ὑπερκειμένῳ θαύματι*

f. 117v || Ἰδοῦσα ἡ πανόλβιος
τοῦ Ζωσιμᾶ τὸν κόπον
τῆς ἀγάπης τοῦ Θεοῦ
ὅρκοις φρικτοῖς αὐτὴν ἐνορκοῦντος,
« τί με φεύγεις τὸν ἀνάξιον,
δοῦλε πιστὲ κυρίου,
τὸν Θεὸν αὐτόν,
ὃν σέβῃ περίμεινον »·
ἔστη, προσήκατο τούτοις, ὡς ἀγαθή,
καὶ τῷ γέροντι ἔφησεν ἐν εἰρήνῃ·

« Ὦ Ζωσιμᾶ, συγχώρησον
διὰ Θεόν, ἀββᾶ μοι·
οὐ γὰρ δύναμαι γυνὴ
οὖσα εἰς πρόσωπόν σου ὀφθῆναι·
τὴν ἐμὴν σὺ βλέπεις γύμνωσιν
τῆς πάλαι ἁμαρτίας,
ἀλλὰ ῥῖψόν μοι
ὀπισθοφανῶς αὐτό,
ὃ περιβέβλησαι ῥάκος, ἵνα στραφῶ·
τὰς ἁγίας δέξομαι προσευχάς σου ».

heirm. ζ΄ EE 40, n. 54, Cypriani

191-194 AA.SS. XV, § 11 (= PG 87, 3705): Τί με φεύγεις γέροντα καὶ ἁμαρτωλόν; δοῦλε τοῦ ὄντος Θεοῦ, μεῖνόν με, ὅστις ἂν εἶ, τὸν Θεὸν δι᾽ ὃν ταύτην τὴν ἔρημον ᾤκησας.

197-206 AA.SS. XV, § 12 (= PG 87,3705): Ζωσιμᾶ, συγχώρησόν μοι διὰ τὸν Κύριον, οὐ δύναμαι ἐπιστραφῆναι καὶ ὀφθῆναί σοι οὕτως εἰς πρόσωπον· γυνὴ γάρ εἰμι, καὶ γυμνή, καθάπερ ὁρᾷς, καὶ τὴν αἰσχύνην τοῦ σώματός μου ἀπερικάλυπτον ἔχουσα. Ἀλλ᾽ εἴπερ θέλεις πάντως ἁμαρτωλῷ γυναίῳ χαρίσασθαι μίαν εὐχήν, ῥίψον μοι τὸ ῥάκος ὃ περιβέβλησαι, ὅπως ἐν αὐτῷ συγκαλύψω τὴν γυναικείαν ἀσθένειαν καὶ στρέφωμαι πρὸς σὲ καὶ τὰς εὐχάς σου κομίζωμαι.

Σὺν τάχει ὁ μακάριος
πολλῷ τοῦτο ποιήσας,
ὡς ἐστράφη πρὸς αὐτὸν
ἡ θεολόγος τοῦ θείου Λόγου·
« τί σοι ἔδοξεν, ἀββᾶ », φησίν,
« ἁμαρτωλὸν ἐν πᾶσιν
⟨⏑́ — ⏑́ — —⟩
θεάσασθαι γύναιον; »
ὁ δὲ εἰς γῆν οὖν τὰ γόνατα βεβληκώς,
λαβεῖν ᾔτει εὐχὴν κατὰ τὸ ἔθος.

τριαδ. Ὦ θεωρίας πέλαγος
τῆς ὑπὲρ νοῦν οὐσίας·
ὢ ἀπλέτου ἀληθῶς
θείου φωτὸς ἐκπληροῦντος πάντα
καὶ φωτίζοντος τὰ πέρατα
ὑμνεῖν υἱόν, πατέρα,
πνεῦμα ἅγιον,
τριάδα ὁμόθεον,
διαιρετὴν ἀδιαίρετον, συμφυῆ,
ὁμοούσιον, ἄτρεπτον τῇ φύσει.

θεοτ. Σὲ πᾶσα κτίσις, ἄχραντε,
ἀξίως μακαρίζει
ὡς κυήσασαν παντὸς
ὅλου τοῦ κόσμου τὴν σωτηρίαν·
διὰ σοῦ γὰρ ἐλυτρώθημεν
ἀρᾶς θανατηφόρου
καὶ τῷ τόκῳ σου
ζωῆς ἠξιώθημεν
τῆς ἀθανάτου· οἴχεται δὲ φθορὰ
τὴν ἀρχαίαν τρυφὴν ἀπολαβόντες.

213 versum scriba praetermisit 229 κυήσασα

207-216 AA.SS. XV, § 13 (= PG 87,3708): Ἐποίει δὲ σὺν τάχει τὸ κελευόμενον ..... Στρέφεται οὖν πρὸς τὸν Ζωσιμᾶν, καί φησι πρὸς αὐτόν· Τί σοι ἔδοξεν, ἀββᾶ Ζωσιμᾶ, ἁμαρτωλὸν θεάσασθαι γύναιον; ..... ὁ δὲ εἰς γῆν κλίνας τὰ γόνατα, ᾔτει λαβεῖν εὐχὴν κατὰ τὸ σύνηθες.

f. 118 || ᾠδὴ η΄. *Γενῶν μουσικῶν τὴν ἀντίθεον*
ἐν Βαβυλῶνι ἁρμονίαν πάλαι
τῶν εὐσεβῶν νέων ἐν φλογὶ
ἀντηχοῦσα
ἐν καμίνῳ γὰρ ἀνέμελπον
ἔλυσεν ἡ συμφωνία·
δροσιζόμενοι παγκόσμιον ὕμνον·
τὸν δημιουργὸν εὐλογεῖτε
τὰ ἔργα πάντα εἰς τοὺς αἰῶνας.

Ὁρᾷ τὴν σεμνὴν ὁ μακάριος
πρὸ τοῦ εἰπεῖν τὰ ἑαυτῆς ἐκείνῳ
χρονίζουσαν ἐν τῇ προσευχῇ,
κρεμαμένην
ἔτι δὲ καὶ ἐν ἀέρι
ἀπὸ γῆς πρὸς τὸ αἰθέριον
ὡς ἕνα πῆχυν ὕψος φερομένην·
ὅθεν κατεπλάγη ἐν τούτῳ,
ἰδὼν ἐξέστη μετὰ τῶν ἄλλων.

Συντόνως τὸ πᾶν ἐρωτήσαντι
τῷ Ζωσιμᾷ ἡ θαυμαστὴ ἐξεῖπεν·
οὐκ ἔκρυψέν τι τῶν ἐξ αὐτῆς,
ἀλλ' εἰς μέσον
προῦθηκεν αὐτῷ τὰ πάντα,
ἐστηλίτευσε τὸν δράκοντα
τὸν ἀρχέκακον καὶ ᾔσχυνεν ὄφιν·
ὅθεν κατεπλάγη ἀκούσας,
ἰδὼν ἐξέστη μετὰ τῶν ἄλλων.

heirm. η΄ EE 41, n. 54, Cypriani 9 τὰ ἔργα πάντα] ἡ κτίσις πᾶσα EE
244 τοῦτο 248 ἐξ] ἐν

237-243 AA.SS. XVI, § 16 (= PG 87,3708): ..... ὅτι ὡς εἶδεν αὐτὴν εἰς τὴν εὐχὴν χρονίσασαν, μικρὸν ἀνακύψας ἐκ τῆς εἰς γῆν κατανεύσεως, ὁρᾷ αὐτὴν ὑψωθεῖσαν ὡς ἕνα πῆχυν ἀπὸ τῆς γῆς καὶ τῷ ἀέρι κρεμαμένην καὶ οὕτω προσεύχεσθαι.

Ἰορδάνη μένει ὁ ὅσιος
δῶρα κομίζων τῇ ὄντως ὁσίᾳ·
ἐν τῇ νυκτὶ ὅτε ὁ Χριστὸς
παρεδόθη,
βλέπει τὴν αὐτὴν ὁσίαν
ἐν τοῖς ὕδασι πεζεύουσαν,
μετασχεῖν τε πόθῳ θείας κοινωνίας·
ὅθεν κατεπλάγη ἐν τούτοις,
ἰδὼν ἐξέστη μετὰ τῶν ἄλλων.

τριαδ. Θεὸν τὸν πατέρα, Θεὸν τὸν υἱόν,
Θεὸν τὸ πνεῦμα εὐσεβῶς ὑμνοῦμεν,
f. 118v || ἕνα οὐ τρεῖς ὄντα τὸν αὐτὸν
τῇ οὐσίᾳ·
οὔπω δὲ καὶ τοῖς προσώποις
ἀδιαίρετον, ἀσύγχυτον·
ᾧ λατρεύοντες, πιστῶς ἐκβοῶμεν
ᾆσμα τὸ τρισάγιον, θεῖον,
ὥσπερ αἱ ἄνω ταξιαρχίαι.

θεοτ. Τὰ χείλη, τὸ στόμα, τὰ ὦτά μου
τῆς διανοίας καὶ τοὺς ὀφθαλμούς μου
ἐκ τῶν παθῶν ταῦτα τῆς σαρκὸς
κολλημένα
ἄνοιξον, ἁγνὴ παρθένε,
ὅπως ἴδω σε τρανότερον
καὶ φωνῆς τῆς σῆς αἰσθήσει ἀκούσω·
σὲ γὰρ ὁ Θεὸς τοῖς ἐν κόσμῳ
θνητοῖς παρέσχεν ζωῆς ἐλπίδα.

255-261 AA.SS. XIX, § 35 (= PG 87,3721): Ὁρᾷ δὲ αὐτὴν τῷ σημείῳ τοῦ τιμίου σταυροῦ τὸν Ἰορδάνην σφραγίσασαν ..... καὶ ἅμα τῇ σφραγῖδι ἐπιβᾶσαν τῷ ὕδατι καὶ περιπατοῦσαν ἐπὶ τῶν ὑδάτων ἐπάνω.

ᾠδὴ θ'. *Ἐποίησε μετὰ σοῦ*
μεγαλεῖα, ἄχραντε,
ὁ τῶν ἁπάντων ποιητής·
τεχθεὶς γὰρ ἐκ σοῦ
f. 119 *πάλιν σώαν ἐφύ||λαξεν*
τὴν σὴν γαστέρα, πανάμωμε·
διό σε ἅπαντες, ⟨θεοτόκε⟩,
βροτῶν τὸ γένος μεγαλύνομεν.

Ἀπέλυσεν Ζωσιμᾶν
προειποῦσα τούτῳ γε
τοῦ πορευθῆναι ἐν χαρᾷ
καὶ αὖθις ἐλθεῖν
εἰς τὸ μέλλον θεάσασθαι
ἐν τῷ χειμάρρῳ τὴν σώφρονα,
ἐν ᾧ μετάρσιος γεναμένη,
αὐτίκα ἐκδημεῖ πρὸς τὸν κύριον.

Νευρούμενος Ζωσιμᾶς
τῇ ἐλπίδι ἔχαιρεν
τὸ μέλλον ποῦ καταλαβεῖν
καὶ τούτου τυχών,
τὴν ὁσίαν ἐπώπτευσεν
ἐν τῷ χειμάρρῳ, ὡς ἔφησεν·
ἧστινος ὄνομα παραδόξως
μαθών, κηδεύει σὺν τῷ λέοντι.

---

heirm. θ' EE 41, n. 54, Cypriani 5 ἐφύλαξεν] ἀνέδειξε EE 6-7 τὴν σὴν γαστέρα / διὸ ἀπαύστως σε, Θεοτόκε EE 7 θεοτόκε om. cd. 283 τοῦτο 297 μεθῶν

285-288 AA.SS. XX, § 36 (= PG 87,3721): Καὶ νῦν μὲν ἄπελθε εἰς τὸ μοναστήριον, τῇ τοῦ Θεοῦ χάριτι φρουρούμενος, εἰς δὲ τὸ ἔτος τὸ ἐρχόμενον ἔλθε καὶ αὖθις εἰς ἐκεῖνον τὸν χείμαρρον, ἔνθα σοι τὸ πρὶν συνέτυχον.

294-295 AA.SS. XX, § 37 (= PG 87,3724): Καὶ ταῦτα εὐχόμενος, τὸν τόπον κατέλαβεν τὸν εἰς χειμάρρου τύπον σχηματιζόμενον, καὶ εἶδεν πρὸς τὸ μέρος αὐτοῦ τὸ πρὸς ἀνίσχοντα τὸν ἥλιον, κειμένην τὴν ὁσίαν νεκράν.

296-297 AA.SS. XX § 38 (= PG 87,3724): Καὶ ταῦτα λέγων, ὁρᾷ πρὸς τῇ κεφαλῇ αὐτῆς ἐκτετυπωμένην γραφήν, ἐν τῇ γῇ, δι' ἧς ταῦτα ἐγέγραπτο· Θάψον, ἀββᾶ Ζωσιμᾶ, ἐν τούτῳ τῷ τόπῳ τῆς ταπεινῆς Μαρίας τὸ λείψανον.

Γενέσθω σοι τῶν ἐμῶν
ὁ φυεὶς πενέστατος
καρπὸς χειλέων προσηνής,
ἡδύς, κἂν βραχὺς
ἐν συγκρίσει ὀφθήτω σοι,
Μαρία σῶφρον θεάρεστε,
καὶ ὡς Θεῷ ἀεὶ παρεστῶσα,
μνημόνευέ μου πρὸς τὸν κύριον.

τριαδ. Πεπλήρωται ἐν πατρὶ
καὶ υἱῷ καὶ πνεύματι,
τῷ ἐν τριάδι καὶ Θεῷ,
ἡ κτίσις φωτός,
εὐσεβείας καὶ γνώσεως,
ἐνθέως πᾶσα γεραίρουσα
τὸν μόνον κύριον καὶ δεσπότην
Θεὸν ἁπάντων βασιλεύοντα.

θεοτ. Σὺν τῷ ἀγγέλῳ, ἁγνή,
καὶ ἡμεῖς τὸ « χαῖρέ » σοι
προσᾴδομεν τοῦ Γαβριήλ·
χαῖρε, ἡ τὸ φῶς
τὸ ἀνέσπερον λάμψασα
καὶ τοὺς ἐν σκότει φωτίσασα,
χαῖρε, τὸ καύχημα ὀρθοδόξων,
χαῖρε, πιστῶν τὸ καταφύγιον.

314-316 Luc. 1,26-28

1 APRIL. · *CANON* III

IN SANCTAM MARIAM AEGYPTIACAM

Vallic. gr. E 54	= Ea,	ff. 162v-164
Mess. gr. 121	= Mh,	ff. 66v-68v
Reg. gr. 61	= Lo,	ff. 40-41v
Paris. Suppl. gr. 152	= Sc,	ff. 14-15
Vat. gr. 1212	= Wh,	ff. 151-153

Ὁ κανών· ⟨Γερμανοῦ?⟩

Ἦχος γ'

ᾠδὴ α'. *Τῷ ῥυσαμένῳ τὸν Ἰσραὴλ ἐκ δουλείας*

Τῆς μετανοίας ὑπογραμμὸν τὴν ὁσίαν
εὑρηκότες, δράμωμεν
τῇ ἐκμιμήσει
κράζοντες τῷ σωτῆρι Χριστῷ·
σῶσον, φιλάνθρωπε, τοὺς σοὺς οἰκέτας.

Ἠλεημένην νινευϊτῶν ἡ ὁσία
μιμουμένη ταπείνωσιν,
ἐξαγορεύει
κλέουσα κατανύξει ψυχῆς
τῷ πανοικτίρμονι καὶ φιλανθρώπῳ.

Ὁ κανὼν ποίημα Γερμανοῦ in Wh.
heirm. α' EE 78, n. 110, Germani   1 τῆς ὁσίας Lo   4 κραυγάζοντες Sc   5 σοὺς οἰκέτας] οἰκέτας σου Wh   6 Ηλεημένη νευϊτῶν Lo   8 ἐξαγορεύσει Lo   9 κατάνυξιν Lo

---

6-7 Jon. 3,1-10

Τραυματισθεῖσα τῆς ἡδονῆς τῇ ῥομφαίᾳ,
τὸ τῶν πόνων φάρμακον
τῆς ἐγκρατείας
προθύμως ἐπιτιθεῖσα, σεμνή,
σαφῶς ἐπέτυχες τῆς θεραπείας.

Κωλυομένη τῆς τῶν σεπτῶν ἐποπτείας
ὑπερβολῇ φαυλότητος,
ἐν συναισθήσει
γέγονας καὶ εἰκόνι σεπτῇ
τῆς θεομήτορος πιστῶς προστρέχεις.

θεοτ. Τὴν μητέρα σου, Χριστέ, θεοτόκον
οἱ πιστοὶ δοξάζομεν
ἀκαταπαύστως,
ὡς πρεσβεύουσαν ὑπὲρ πάντων ἡμῶν
τοῦ λυτρωθῆναι ἡμᾶς ἐκ τῶν κινδύνων.

ᾠδὴ β'. *Πρόσεχε, οὐρανέ, καὶ λαλήσω*

Αἴγυπτον τῶν παθῶν ἐκφυγοῦσα,
τῆς ἀπαθείας τὴν γῆν κατεκληρώθης.

Βάπτισμα κατερρύπωσας θεῖον,
ἀλλὰ δακρύων πηγαῖς σου ἐβαπτίσθης.

f. 163 || Εἵλκυσας τὴν τοῦ πνεύματος χάριν,
τοὺς σεβασμίους προσκυνήσασα τόπους.

Πάθει τῆς σαρκὸς μολυνθεῖσα,
τῆς ἐγκρατείας ἱδρῶσιν ἀπέπλυνας.

θεοτ. Σέσωσται προσφυγοῦσα, παρθένε,
τῇ σῇ εἰκόνι Μαρία ἡ ὁσία.

---

11 ταῖς ἡδοναῖς Lo τῆς om. Mh   τῇ] τὴν Mh   14 ἐπιθεῖσα Mh   16-20 troparium om. Mh Sc   20 πιστῶς] σεπτῶς Lo Wh   21-25 θεοτ. cfr. p. 322 om. Wh   21 σε Χριστὸς Mh
oden β' om. Mh Lo Sc Wh   heirm. β' EE 78, n. 110, Germani

ᾠδὴ γ'. *Ἐστερεώθη ἡ καρδία μου ἐν κυρίῳ*

Ὅπου ὡς λόγος ἐπλεόνασεν ἁμαρτία,
ἡ θεία χάρις σου, εὐεργέτα,
δι' εὐσπλαγχνίαν ἄφατον
ἐπερίσσευσεν.

Φιλανθρωπίας σου τὸ πέλαγος ἐπεδείξω,
τὴν πόρνην, δέσποτα, δεδεγμένος,
ἣν καὶ ἁγνείας χάριτι
κατελάμπρυνας.

Βεβαιωθεῖσα τῆς ὁσίας σου ἡ καρδία
ἀγάπῃ, πίστει τε καὶ ἐλπίδι,
σοὶ τῷ δεσπότῃ χαίρουσα
ἠκολούθησεν.

θεοτ. Βδελυξαμένη ἡ ὁσία τὴν ἁμαρτίαν,
ἁγνείας εἵλκυσεν εὐωδίαν
τῇ σῇ εἰκόνι, ἄχραντε,
ἀτενίσασα.

ᾠδὴ δ'. *Τὴν ἀκοήν σου, κύριε,*
εἰσακήκοα καὶ ἐφοβήθην

Τῆς ἡδονῆς τὸ δέλεαρ
δεξαμένη, δεινῶς ἐβδελύχθης·
προσῴζεσε τῶν μωλώπων γάρ σου τὸ τραῦμα,

heirm. γ' EE 78, n. 110, Germani 36 ἡ ἁμαρτία Mh Sc 38 ἄφατον] ἄφθονον Mh 39 ἐθεράπευσε Wh 40 σου om. Ea Mh Lo 41 δεδεγμένος] δεξάμενος Lo 42 ἣν Ea Mh 44 ὁσίας om. Sc 45 τῇ ἀγάπῃ Wh 48 Βδελλυγξαμένη Lo ἡ om. Sc 49 τῆς ἁγνείας Wh εὐωδίας Sc

Post oden γ' κάθ. praebent Lo Sc, extra canonem Mh Τοῦ σταυροῦ ταῖς ἀκτῖσι καταυγασθεῖσα BNJ 11 (1934-1935) 327

heirm. δ' EE 79 n. 111, Germani 54 προσόξεσεν Mh προσώζεσαν Lo προσῶζεσεν Sc προσώζοσεν Ea

37-39 Eph. 1,8

ἀλλ' ἀρετῆς ἀντελάβου καὶ σκεῦος
εὐωδίας ἐγένου,
Μαρία πανένδοξε.

Τῆς ἀρετῆς τὸ σύντονον
προτιμήσασα, ἀνεκαλέσω
τὴν ἧττάν σου ἐν τοῖς πάθεσιν, θεοφόρε·
τὴν γὰρ ὁδὸν τὴν στενὴν διοδεύειν
ᾑρετίσω προθύμως,
Μαρία πανεύφημε.

Τὰ τῆς σαρκὸς σκιρτήματα
καθυπέταξας δι' ἐγκρατείας,
τῷ πνεύματι δαπανήσασά σου τὸ σῶμα,
τὴν δὲ ψυχὴν θεωρίαις ἐκλάμπειν
καταστήσασα θείαις,
Μαρία πανεύφημε.

θεοτ. Τὴν σὴν εἰκόνα, δέσποινα,
θεωρήσασα ἡ Μαρία,
λαμπρότητι τῆς ἁγνείας σου κατηυγάσθη,
πρὸς τὸν ἐκ σοῦ σαρκωθέντα δεσπότην
σὲ μεσίτην εὑροῦσα
καὶ πρέσβυν εὐπρόσδεκτον.

ᾠδὴ ε'. *Ὀρθρίζοντες ἀνυμνοῦμέν σε, Λόγε,*

Μετέστησας σοῦ τὴν ἔφεσιν πᾶσαν
πρὸς τὸν δεσπότην καὶ Θεόν,
καταφρονήσασα σαρκὸς
τῇ δυνάμει τοῦ σταυροῦ,
ὃν ἀνυψούμενον
προσεκύνησας πίστει.

63 πανεύφημε] πανένδοξε Sc 66 δαπανήσας Lo 67 δὲ om. Mh ἐκλάμπει Lo 68 δὲ καταστήσασα Mh 69 πανεύφημε] πανέντιμε Sc 71 Μαρία] μακαρία Mh Lo Sc Wh 73 σαρκωθέντα] τεχθέντα Lo

heirm. ε' EE 78, n. 110, Germani 77 Θεὸν καὶ δεσπότην Lo 80 ὃν ἀνυψούμενος Ea

Περάσασα Ἰορδάνου τὰ ῥεῖθρα,
συνεφελκύσω τὴν ἰσχὺν
τοῦ βαπτισθέντος ἐν αὐτῷ
καὶ δαιμόνων τὰς ὁρμὰς
καταπατήσασα,
νικηφόρος ἐδείχθης.

Ἐνίκησε τῶν παθῶν τὴν μανίαν
τῆς διανοίας τὸ στερρόν·
163v ‖ ταῖς γὰρ ἀσκήσεσι σαφῶς
καὶ δακρύων ταῖς πηγαῖς
τῶν πρὶν μωλώπων σου
τὰς οὐλὰς ἐξαλείφεις.

θεοτ. Ὁρμήσασαν καθορῶν τὴν καρδίαν
πρὸς ἀγαθὴν μεταβολὴν
ὁ ἐκ παρθένου σαρκωθείς,
οὐρανίᾳ σε φωνῇ
προσεκαλέσατο
πρὸς μονὰς οὐρανίους.

ᾠδὴ ς'. *Τοὺς εἰς τὰ τέλη τῶν αἰώνων*

Τῆς ἁμαρτίας πρὸς τὸ βάθος
καταντήσασα, ἀνένευσας
καὶ δι' εὐτόνου προσευχῆς
τῷ δεσπότῃ ἐξηγόρευσας,
βοῶσα ἀνενδότως·
« σῶσον, σωτήρ,
ὡς ἔσωσας τοῦ θηρὸς τὸν προφήτην ».

82 τὸ ῥεῖθρον Lo 90 γὰρ om. Wh ἀσκήσεσι] αἰκίσεσι Wh 93 ἐξαλείφεις] ἐξαλίφων Lo 94 τὴν] σὶν Mh 99 οὐρανίους] σωτηρίους Sc Wh

heirm. ς' EE 78, n. 110, Germani 100 πρὸς] εἰς Lo Sc Wh τὸ om. Mh 105 σῶσον, σωτήρ,] σῶσον σωτὴρ καὶ ῥῦσαι φθορᾶς Lo 106 τοὺς προσκυνοῦντας τὴν σὴν βασιλείαν Sc τὸν προφήτην om. Mh

105-106 Cfr. Dan. 6,18-22

Τῆς ἐγκρατείας οἱ ἱδρῶτες
πρὸς ἀπάθειαν ὁδεύσαντες,
ἀθανασίας γλυκασμὸν
τῇ ψυχῇ σου προεξένησεν,
ἐν οἷς σὺ ἀνεβόας·
« σῶσον, σωτήρ,
ὡς ἔσωσας τοῦ θηρὸς τὸν προφήτην ».

θεοτ. Τῆς θεοτόκου τῇ εἰκόνι
ἀπορήσασα ἠτένισας
καὶ γλυκυτάτου φωτισμοῦ
ἐνεπλήσθη ἡ καρδία σου,
πρὸς ἣν καὶ ἀνεβόας·
« σῶσον, ἁγνὴ
παρθένε, ἡ τὸν Θεὸν συλλαβοῦσα ».

ᾠδὴ ζ'. *Τὴν ἐν καμίνῳ φλόγα*

Τὰς ἐπιγείους φροντίδας
γενναίως ἀπεσείσω,
τὰς οὐρανίους ἐλπίδας
τῇ πίστει θεωροῦσα.

107 ἱδρῶτες] ἱδρῶται Lo 109 γλυκασμῷ Wh 110 προσεξένησαν Sc προεξένησαν Wh 111 οἷς] ἧς Lo σοὶ Mh 113 τοῦ θηρὸς τὸν προφήτην om. Sc ante θεοτ. in Mh Lo Sc Wh hoc troparium legimus: Τῇ βοηθείᾳ τοῦ ὑψίστου / κατοικήσασα τὴν ἔρημον, / τὰς μεθοδείας τοῦ ἐχθροῦ, / θεοφόρε, κατεπάτησας, / βοῶσα τῷ δεσπότῃ· / σῶσον, σωτήρ, / ὡς ἔσωσας τοῦ θηρὸς τὸν προφήτην pro ὡς ἔσωσας... Lo hunc versum refert: τὴν πταίσασάν σοι πολλὰ ὡς οἰκτίρμων 115 ἠτένιζες Sc 117 ἀνεπλήσθη Mh 118 καὶ om. Ea 120 ἡ om. Mh

Post oden ς' in Sc sequitur κοντάκ. Ἡ πορνείαις πρότερον με[illegible]τωμένη MR IV, 230 et οἶκ. Τὴν ἀμνάδα Χριστοῦ καὶ θυγατέρα MR IV, 230; aliud κοντάκ. praebet Lo, Τῆς ἁμαρτίας τὴν ἀχλὺν ἐκφυγοῦσα HR, 223, et οἶκ. Ὄφιν τὸν πάλαι ἐν Ἐδὲμ PAS I, 434

heirm. ζ' EE 77, n. 109, Andreae 123 τοὺς Mh

112-113 Cfr. Dan. 6,18-22

Τὴν τεθλιμμένην τρίβον
βαδίσασα, θεόφρον,
τοῦ τῆς τρυφῆς παραδείσου
κατήντησας εἰς πλάτος.

Τῆς ἀρετῆς τῷ κάλλει
κοσμίως ὡραιώθης·
τῆς ἁμαρτίας γὰρ αἶσχος
τελείως ἐβδελύξω.

θεοτ. Τοῦ σεβασμίου ξύλου
τῆς θέας ἠξιώθης,
τῆς θεοτόκου γὰρ εἶχες
συμπράττουσαν τὴν χάριν.

ᾠδὴ η'. *Τὸν ἐξ ἀνάρχου τοῦ πατρὸς*

Δι' ἐγκρατείας ἀκριβοῦς
καθαρθεῖσα μολυσμάτων τῶν πρίν,
πρὸς ὕψος ἤρθης Θεῷ ὁμιλοῦσα·
σάρκα γὰρ ἐλέπτυνες,
τὰ πάθη νεκρώσασα
λογισμῷ πανευσεβεῖ,
Μαρία, « εὐλογεῖτε
καὶ ὑπερυψοῦτε
Χριστόν », ἀναβοῶσα.

Τὴν ἐφ' ἑκάτερα ῥοπὴν
τῆς ἀνθρώπων διανοίας ὁ σὸς
διδάσκει βίος· τῆς γὰρ ἁμαρτίας
ἔφθασας τὴν ἄβυσσον
καὶ πάλιν ἀνέδραμες

127 τοῦ] καὶ Wh 129 τὸ κάλλος Wh 131 γὰρ] τὸ Lo, om. Sc 132 ἐβδελλύγξω Lo 133 ξύλου] δὲ ξύλου Wh 134 τῆς θέας] τελείως Mh θέας] θείας Lo
heirm. η' EE 79, n. 111, Germani 139 ἤρθης] ἦλθες Mh 143 εὐλογοῦσα Lo Sc Wh 144 ὑπερυψοῦσα Lo Sc Wh 145 Χριστῷ Ea ἀναβοῶσα] εἰς τοὺς αἰῶνας Lo Sc 144-145 om. Mh 147 τῆς] τῶν Mh 149 ἔφθασεν Mh

ἀρετῶν πρὸς κορυφήν,
Μαρία, εὐλογοῦσα
καὶ ὑπερυψοῦσα
Χριστὸν εἰς τοὺς αἰῶνας.

Τειχιζομένη τῷ σταυρῷ
καὶ σφραγῖδι τοῦ βαπτίσματος,
f. 164 ἐπὶ || ὑδάτων ποσὶ διοδεύεις,
ἄρτον τὸν οὐράνιον
καὶ αἷμα τὸ ἄχραντον
δεξαμένη τοῦ Χριστοῦ,
Μαρία, εὐλογοῦσα
καὶ ὑπερυψοῦσα
Χριστὸν εἰς τοὺς αἰῶνας.

θεοτ. Ταῖς τρικυμίαις τῶν παθῶν
καὶ δαιμόνων ὀχλουμένην δεινῶς,
ἡ φιλάνθρωπος ἐγγυησαμένη
σὲ τρανῶς ἐρρώνυεν
παρθένος ἡ ἄχραντος,
ἡ κυήσασα Θεόν,
ὃν πάντες εὐλογοῦμεν
καὶ ὑπερυψοῦμεν
εἰς πάντας τοὺς αἰῶνας.

ᾠδὴ θ'. *Σὲ τὴν ἀκατάφλεκτον βάτον*

Μύστης ἱερεὺς θεωρήσας
Ἰορδάνου τὰ ῥεῖθρα
διαβαίνουσαν ποσὶν

152 βοῶσα μακαρία Lo 153-154 om. Mh 158 τὸν om. Mh 161 εὐλογοῦσα] ἐκβοῶσα Lo 162 σὲ ὑπερυψοῦμεν Lo 163 Χριστὸν εἰς] εἰς πάντας Lo 164 τῶν παθῶν τρικυμίαις Lo 165 ὀχλουμένων Ea Mh ὀχλουμένην δεινῶς] ταῖς ὀχλήσεσιν Wh 166 φιλανθρώπως Lo Wh 170 ὃν Ea 172 om. Mh Sc
heirm. θ' EE 79, n. 111, Germani

157, 174-175 Cfr. Matth. 14,29

σὲ τὴν ὁσίαν,
τὸν δεσπότην πάντων Χριστὸν
ἐμεγάλυνεν.

Θῆρας λογισμοὺς τοὺς ἀγρίους
εἰρηνεύσασαν πάθει
καὶ βουλήσει τοῦ Θεοῦ,
ὦ θεοφόρε,
μεταστᾶσαν, θήρ σε ἐν γῇ
κατεκάλυψεν.

Ἐν ἐπουρανίοις θαλάμοις,
θεοφόρε Μαρία,
ἐντρυφῶσα τοῦ Χριστοῦ
τῇ θεωρίᾳ,
τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν
καθικέτευε.

θεοτ. Σὲ τὴν θεομήτορα κόρην
ἡ θεόφρων Μαρία
κεκτημένη βοηθὸν
ἐν τῇ ἀσκήσει,
νικηφόρος ὤφθη σαφῶς,
μητροπάρθενε.

θεοτ. * [Χαῖρε, τῶν εἰς σὲ προστρεχόντων
τὸ ἀπόρθητον τεῖχος,
χαῖρε, εὔδιε λιμὴν
τῶν σὲ σεβόντων,
χαῖρε, μήτηρ Χριστοῦ τοῦ Θεοῦ
ἀειπάρθενε].

179 λογισμῶν Sc Wh 180 εἰρηνεύσασα Mh πάθη Lo 181 Θεοῦ] Χριστοῦ Sc 183 θήρ σε ἐν γῇ] σὲ θῆρες ἐν γῇ Sc 184 κατεκάλυψαν Sc 187 τῷ Χριστῷ Lo 189 λυτρωθῆναι κινδύνων ἡμᾶς Sc τὰς ψυχὰς ἡμῶν] πάντας ἡμᾶς Lo Wh 191-196 θεοτ. om. Mh 197-202 θεοτ. Pent[11] λζ′ om. Sc.

IN SANCTAM MARIAM AEGYPTIACAM

Paris. gr. 13 = Q, ff. 291v-292
Paris. gr. 341 = Pq, pp. 213-219
Barber. gr. 460 = Bd, ff. 126-128

Ὁ κανών· ποίημα Συμεὼν Λογοθέτου τοῦ Μεταφραστοῦ.

Ἦχος πλ. β′.

ᾠδὴ α′. *Ὡς ἐν ἠπείρῳ πεζεύσας*

Τῷ μακαρίῳ καὶ πρώτῳ
καὶ νοερῷ
φωτὶ πλησιάζουσα,
ὡς ἡμέρας καὶ φωτὸς
γεγονυῖα τέκνον, καθαρᾷ
διανοίᾳ με τὰ σὰ
μέλψειν ἀξίωσον.

Καὶ τοὺς τῆς φύσεως νόμους
ἀσκητικοῖς
ἀγῶσιν ἐνίκησας

Tit. Κανὼν εἰς τὸν ὄρθρον, ποίημα Συμεὼν Λογοθέτου τοῦ Μεταφραστοῦ Q Ὁ κανών, ποιήμα Συμεὼν Μαγίστρου καὶ Λογοθέτου Pq Bd om. auctoris nomen

heirm. α′ EE 159, n. 224, Joannis 7 μέλπειν Pq Bd 10 ἐνίκηκας Pq

καὶ τῶν λόγων τὴν ἰσχὺν
ὑπερέβης ἅπασαν· διὸ
ταῖς πρεσβείαις με ταῖς σαῖς,
μῆτερ, ἐνίσχυσον.

Τῇ προσβολῇ μὲν ἡττήθης
τῶν ἡδονῶν,
θεόφρον, ὡς ἄνθρωπος,
τῇ δὲ πράξει τῶν καλῶν
ἤρθης ὑπὲρ ἄνθρωπον, πολλοῖς
τὸν ἀντίπαλον τὸν σὸν
ἄθλοις αἰσχύνασα.

θεοτ. Ἡ τὸν Θεὸν τετοκυῖα
καὶ τῆς ἡμῶν
ἀσθενείας, πάναγνε,
προνοοῦσα συμπαθῶς,
βοηθὸς γενοῦ μοι καὶ ψυχὴν
ἐλευθέρωσον πολλοῖς
πταίσμασιν ἔνοχον.

ᾠδὴ γʹ. *Οὐκ ἔστιν ἅγιος ὡς σύ,*

Βολίσιν ὥσπερ τοῦ σταυροῦ
ταῖς ἀκτῖσι, Μαρία,
τοξευθέντας εὐστόχως
τοὺς ἔρωτας τῆς σαρκὸς
ἀπήλασας καὶ Χριστοῦ
θειοτάτους
ἔρωτας ἀντέπνευσας.

---

17 θεόφρον ὡς] θεοφρόνως Pq 21 αἰσχύνουσα Bd 22 τὸν] καὶ Pq 26 καὶ ψυχὴν] προφανῶς Bd 27 ἐλευθέρωσον] καὶ ἐλεύθερον Bd 28 δεῖξον με πταίσμασιν Bd

heirm. γʹ EE 159, n. 224, Joannis 29 βολίσιν] βελέσιν Bd

Εἶργεν ὁ θεῖός σε σταυρὸς
τῆς εἰσόδου, Μαρία,
διανοίγων εὐθύς σοι
τῆς μετανοίας ὁδόν,
δι' ἧς Θεὸν ἐν αὐτῷ
προσπαγέντα
πόνοις ἐθεράπευσας.

Καλὴν ἐφεῦρες βοηθὸν
τὴν ὁμώνυμον κόρην,
τῆς ἁγνείας τὸ ἄνθος,
τὸ σκήνωμα τοῦ φωτός,
προϊσταμένην θερμῶς
τῷ υἱῷ σε
ταύτης καταλλάττουσαν.

θεοτ. Ὁ παρὰ πάντας τοὺς βροτοὺς
ἐν τῷ κάλλει ὡραῖος
ἐφευρών σε θεόπαις
κατ' ἄμφω περικαλλῆ,
τὴν μήτραν σου τὴν ἁγνὴν
κατοικήσας,
κόσμον ἀνεκτήσατο.

Κάθισμα.

Ἦχος δʹ. *Ἐπεφάνης σήμερον*

Εἰς κακίας ἄβυσσον
κατενεχθεῖσα,
....

---

38 τοξευθέντα εὐστόχως Bd διανοίγων σοι θείαν Pq 40 θεὸς Bd 45 ἀγνοίας Bd 46 ἐγγυωμένην καλῶς Pq 46-47 τὸ σκήνωμα τοῦ φωτὸς ἐγγυωμένην καλῶς προϊσταμένην θερμῶς Q 47 ἐγγυομένην καλῶς Bd

Idem κάθ. invenies in secundo canone; aliud autem, quod incipit: Τὰ σκιρτήματα πάντα (MR IV), Pq Bd ostendunt

f. 292 ‖ ᾠδὴ δ'. *Χριστός μου δύναμις*

Παθῶν τὴν Αἴγυπτον
πληγαῖς ἐκόλασας
ἐγκρατείας, θεόφρον,
οἷα πηλοῦ
καὶ πλινθείας ἄριστα
τῆς τῶν κακῶν ἐργασίας
σεαυτὴν ἐλευθερώσασα.

Πρωτεύειν ᾤετο
πάσης ἀσκήσεως
Ζωσιμᾶς ὁ θεόφρων
τῶν ἀρετῶν,
ἀλλ' ἰδὼν ὑπεῖξέ σοι
καὶ τοὺς ἀγῶνάς σου, σεμνή,
διδασκόμενος, ἐξίστατο.

Τρυφήν, εὐπάθειαν,
ἀσέμνους γέλωτας
καὶ λειότητα πᾶσαν,
ὑφ' ὧν τὸν νοῦν
ἠπατήθης πρότερον,
καλῶς ἠμείψω τὸ τραχὺ
κατ' αὐτῶν ἀντιστρατεύσασα.

θεοτ. Θεὸν ἐγέννησας
ἐν δύο φύσεσιν
γνωριζόμενον, κόρη,
ποιητικῇ
ποιητῇ τε, πάναγνε·
διὸ καὶ φύσις νοερὰ
καὶ βροτεία μεγαλύνει σε.

heirm. δ' EE 159, n. 224, Joannis 59 ἐγκρατεία Bd 62 κακῶν] παθῶν Pq 64-70 troparium om. Bd 73 καὶ τελείαν ἡδύτην Bd 78 Θεὸν] Χριστὸν Pq 82 ποιητῇ τε] πάντα Bd 84 μεγαλύνω Bd

ᾠδὴ ε'. *Τῷ θείῳ φέγγει σου, ἀγαθέ,*

Ἐρώτων πάλαι τῶν σαρκικῶν,
οὕσπερ δριμυτάτους ὑπέστης,
οἱ θεῖκοί τε καὶ σώφρονες
ἐγκατακαυχῶνται·
καὶ γὰρ θερμότερον
τὸ πρὸς Θεόν σου φίλτρον
ὄντως ἐξέκαυσας.

Ἀγάλλου, ἔρημος, ἐν Χριστῷ·
σὺ γὰρ ἀντὶ πάντων ὡς δῶρον
Θεῷ Μαρίαν προσήνεγκας,
ἧς καὶ πιανθεῖσα
τοῖς θείοις δάκρυσιν,
πνευματικὴν ἐξήνθησας
ἀγαλλίασιν.

Τῶν ἔργων πάλαι καταφανῶν
σοῦ τῶν μοχθηρῶν γενομένων,
τῶν ἀγαθῶν οὐκ ηὐδόκησεν
τοὺς μακροὺς ἐκείνους
ἄθλους ἡ πρόνοια
λαθεῖν ἐν ταῖς ἐρήμοις,
ἀλλ' ἐφανέρωσεν.

θεοτ. Τῷ θείῳ φέγγει σου, ἀγαθή,
τὴν ἐσκοτισμένην μου ψυχὴν
ταῖς ἁμαρτίαις καταύγασον,
τὴν ἐπικειμένην
τοῖς νοεροῖς ὀφθαλμοῖς
ὁμίχλην τῶν κακῶν μου
διασκεδάσασα.

heirm. ε' EE 159, n. 224, Joannis 86 ὥσπερ Bd 88 κ[illegible]μεγεθοῦσι Pq ἐγκατακαυχῶντα Bd 101 ἀγαθῶν] ἀφανῶν Bd εὐδό[illegible] Pq Bd 111 κακῶν] παθῶν Bd

111-112 Sap. 2,4

ᾠδὴ ς'. *Τοῦ βίου τὴν θάλασσαν*

Χειμῶνος καὶ κλύδωνος
ἀναδῦσα σῶν κακῶν
ὡς ἐκ θαλάττης, ἔδραμες
πρὸς μετανοίας ὅρμον τὸν γαληνόν,
Μαρία, τὴν ἔρημον
ὡς στρουθίον μονάζον
κατοικήσασα.

Τὰς φρένας ἠλλοίωται
Ζωσιμᾶς, κατανοῶν
ἠμελημένον γύναιον
ἡδυπαθείᾳ πρότερον ἐκτραφὲν
τοσαύτης σκληρότητος,
βιοτῆς τε βιαίας
ἀνασχόμενον.

Εὐάλωτον γύναιον
ἀπατῶν ὁ δυσμενής,
ἀλόγως ἐφριάττετο,
ἀλλὰ διπλοῦν ὑπέστη μυκτηρισμόν,
νικώμενος ὕστερον
ἀπ' αὐτῆς ἐγκρατείᾳ
καὶ παιζόμενος.

Ὠδίνησας, πάναγνε,
σωτηρίαν τοῖς βροτοῖς
καὶ βρέφος ἀπεκύησας,
ἐν ᾧ ζωὴ καὶ χάρις καὶ ἱλασμός·
δι' οὗ πάντα γέγονεν
καὶ τῷ Λόγῳ κινεῖται
καὶ συνέχεται.

---

heirm. ς' EE 159, n. 224, Joannis 118 μονάζων Bd 120 ἠλλοίωτο Pq Bd 121 κατανοῶν] ὁ θαυμαστὸς Bd 124 τοσαύτη σκληρότητι Bd 127 εὐάλωτον] σὺ ἄλωτον Bd 128 δυσμενεῖς Bd 130 μυκτηρισμόν] μαρμαρυγαῖς Bd 139 καὶ τῷ Λόγῳ] καὶ ζωὴ καὶ Bd ᾧ καὶ ζῇ Pq 140 συνέχετε Bd

---

117-118 Lam. 4,3

Κοντάκιον.

Ἦχος πλ. δ'. *Τῇ ὑπερμάχῳ*

Ἡ ὑπὲρ πάντας χαλεπῶς ἐξαμαρτήσασα
ὡς λυτρωθῆναι τῶν δεινῶν πρὸς σὲ κατέφυγον,
ἀλλὰ δέξαι με, φιλάνθρωπε Ἰησοῦ μου,
ὅτι ἐλήλυθας καλέσαι, σωτὴρ ἡμῶν,
τοὺς πλανωμένους ἁμαρτίας
καὶ θέλοντας τοῦ κράζειν σοι,
ἰατρὲ τῶν ψυχῶν ἡμῶν.

Ὁ οἶκος.

Ἀρχὴν τῆς μετανοίας ποθήσασα,
ἀσφαλεῖ προστασίᾳ προσέρχεται,
ἀγραμμάτως προσφέρουσα δέησιν,
ἀντὶ χάρτου καὶ μέλανος ἔχουσα
ἀπὸ καρδίας ἔνδον δάκρυα
καὶ θερμῶς ἐκβοῶσα· « ἀπάλειψαι,
ὦ καρδιογνῶστα, τὰς οὐλὰς τῶν πολλῶν παραπτώσεων ».
Ταῦτά σοι ἐκ θερμῆς διανοίας
προσῆξεν ἡ πόρνη, Χριστέ,
ἰατρὲ τῶν ψυχῶν ἡμῶν.

---

heirm. κοντακ. ER, 467 Quamquam similis in nonnullis versibus valde tamen a nostro differt οἶκ., ed. in AK, 145: Ἀρχὴν τῆς μετανοίας ποθήσασα / ἀσφαλῆ σωτηρίαν πρὸς ἄγουσα (sic) / ἀγραμμάτως προσφέρω σοι δάκρυα / ἀντὶ χάρτου καὶ μέλανος ἔχουσα / ἀπὸ καρδίας ἔνδον δάκρυα ἀνεξάληπτα / ὄντα καρδιογνῶστα / ἅπερ δέχε σε ἀγκαλίζε σε / αὐτά σοι καὶ προσάγω / ὡς ἡ πόρνη, Χριστέ, πολυέλεε. Pq κοντάκ. ostendit Ἡ πορνείαις πρότερον μεμεστωμένη MR IV, 230, et οἶκ. Τὴν ἀμνάδα Χριστοῦ καὶ θυγατέρα MR IV, 230. In Bd hoc κοντάκ. et hunc οἶκ. invenimus: κοντάκ. ἦχος β' *Ἡλιοῦ ἐμιμήσω* Τῷ Χριστῷ ἑπομένη ἡ ὁσιόφρων / Ἰορδάνου τὸ ῥεῖθρον διαπερῶσα / ἡ ἀνδρειόφρων Μαρία ἡ πάνσεμνος / τοῖς ἐνδοτέροις ὁρίοις εἰσέδραμεν / συχνῶς τὸ θεῖον ἱκέτευεν / τελέσαι τὸν δρόμον τῆς ἀσκήσεως. Ὁ οἶκ. *Τράνωσόν μου τὴν γλῶτταν, σωτήρ μου,* Ἄναρχε πάτερ, υἱὲ καὶ πνεῦμα, / τὸ τρισήλιον φάος, / ἡ πηγὴ τῆς ζωῆς / καὶ τῆς σοφίας ἡ ἄβυσσος, / βλύσον σοφίαν ἐμοῖς ἐγκάτοις / ἐγκαινίζων καρδίαν εἰς τὸ ὑμνῆσαι / ἄθλους σεπτοὺς / Αἰγυπτίας Μαρίας τῆς σώφρονος, / ἣ πάλαι τῷ ἀντιπάλῳ / ἀνδρικῶς συμπλακεῖσα καὶ νουνεχῶς / τὰς αὐτοῦ μηχανὰς ἐτροπώσατο, / ἡ ἀνδρειόφρων καὶ φιλάνθρωπος, / Χριστὸν δυσωποῦσα τοῦ σωθῆναι ἡμᾶς.

οἶκ. v. 3. AA.SS. Aprilis I, (1675) XIX, § 31 (= PG 87,3720): . . . γράμματα τοίνυν οὐ μεμάθηκα πώποτε. Ἀλλ' οὐδὲ ψάλλοντός τινος ἢ ἀναγινώσκοντος ἤκουσα.

ᾠδὴ ζ΄. *Δροσοβόλον μὲν τὴν κάμινον εἰργάσατο*

Δροσοβόλον σου τὴν κάμινον εἰργάσατο
πάλαι τῆς φλεγμαινούσης σαρκὸς
ἐπιθυμίαις
ταῖς ἀλόγοις κύριος, σεμνή·
ἀλλοίωσις αὕτη γάρ ἐστιν
τῆς τοῦ ὑψίστου δεξιᾶς,
ὃν εὐλογοῦμεν ἀεί.

Ἁμαρτία μὲν ἐκδύει τοὺς προπάτορας
ζῶντας ἐν παραδείσῳ γυμνούς,
ἡ Μαρία δὲ
γυμνητεύειν εἵλετο· καὶ γὰρ
αἰσχύνην ἐκδῦσα τῶν παθῶν,
χάριτι θείᾳ νοερῶς
κατεκαλύπτετο.

Τῷ σῷ κράτει, κύριε, θαρρήσασα,
τοῦ πάντα δυναμένου Θεοῦ
ἡ ποθοῦσά σε,
περαιοῦται ῥεῖθρα ποταμοῦ,
ἀβρόχῳ βαδίζουσα ποδὶ
καὶ τὴν σὴν ἄφατον ἰσχὺν
ἔργῳ κηρύττουσα.

θεοτ. Τὴν ψυχήν μου, παναγία μητροπάρθενε,
δεδουλωμένην πάθεσιν
ἐλευθέρωσον,
ἡ τεκοῦσα κύριον παντὸς
καὶ πεῖσόν με πείθεσθαι ζυγῷ
Χριστοῦ τῶν θείων ἐντολῶν,
τοῦ σοῦ υἱοῦ καὶ Θεοῦ.

---

heirm. ζ΄ EE 159, n. 224, Joannis 141 σοῦ] μὲν Bd 147 ἀεὶ] λαοί Bd 148 ἐκδύει] ἐν δύσει Bd 149 γυμνός Bd 152 ἐκδύσατο παθῶν Bd 155-161 troparium om. Bd 163 δεδουλουμένον Bd

---

158-159 AA. SS. XIX, § 35 (= PG 87, 3721): Ὁρᾷ δὲ αὐτήν ..... καὶ ἅμα τῇ σφραγῖδι ἐπιβᾶσαν τῷ ὕδατι καὶ περιπατοῦσαν ἐπὶ τῶν ὑδάτων ἐπάνω.

148-149 Gen. 3,6-7

ᾠδὴ η΄. *Ἐκ φλογὸς τοῖς ὁσίοις*

Ὢ δριμείας ἀγάπης,
Χριστέ, τῶν σῶν ἐραστῶν·
ὢ ψυχῶν ἀχειρώτων
δεσμοῖς τοῦ σώματος,
ἥλιε καὶ γῆ,
τοῦ Θεοῦ τὴν ἀνείκαστον
δόξαν ἐπαινεῖτε,
τῷ Λόγῳ θαμβηθέντες.

Ἀστικὸν ἐν ἐρήμῳ
κατῴκει γύναιον
οὐκ ὀφθὲν χρόνοις πλείστοις,
οὐ θεασάμενον,
ἄγευστον τροφῆς
ἀνθρωπίνης, ἀνάλωτον
χάριν ἐδέξω ἐκ Θεοῦ
τοῦ ἰατρεύειν νοσήματα
〈— — — ⏑́ — — ⏑́ — —〉
ὅθεν σε, θαυματουργὸν ἰατρὸν
γνόντες, γεραίρομεν.

τριαδ. Τὴν ἀδιαίρετον φύσιν,
τὴν παντουργὸν δύναμιν,
τὴν τρισυπόστατον αὐγήν,
πατέρα πάντες ὑμνήσωμεν,
υἱὸν καὶ πνεῦμα τὸ ἅγιον,
κράζοντες· σῶζε τοὺς δούλους σου ἀεί,
τριὰς ἀμέριστε.

θεοτ. Σὲ τὴν τοῦ κτίστου μητέρα,
τὴν πρὸς Θεὸν γέφυραν,
τὴν καλλονὴν τοῦ Ἰακώβ,
τὴν τῶν ὁσίων εὐπρέπειαν,
ἀρχιερέων τὸ καύχημα
ἅπαντες ὑμνολογοῦμεν εὐσεβῶς,
θεοχαρίτωτε.

ᾠδὴ γʹ. *Ὁ στερεῶν βροντὴν καὶ κτίζων πνεῦμα*

Κατὰ παθῶν σαρκὸς σὺ βασιλεύσας,
γνήσιος δοῦλος γέγονας
τοῦ βασιλέως τῶν οὐρανῶν,
τοῦ πρὸς θείαν βασιλείαν

26 versum scriba praetermisit
heirm. γʹ ΕΕ 104, n. 147, Andreae

38 Cfr. Ps. 46,5

σοφῶς σὲ μεταστήσαντος,
Ἱλάριε ὅσιε.

Καταστολὴν παθῶν περιβαλέσθαι
τὴν ἄνωθεν, Ἱλάριε,
τριχίνοις ῥάκεσι τὸ σεμνὸν
περιέστειλές σου σῶμα,
τῷ κρύει πιεζόμενος
ἐν πλείοσιν ἔτεσιν.

Τῶν κοσμικῶν θορύβων ἀπανέστης
θεοπρεπῶς, Ἱλάριε,
καὶ ἐπὶ ὄρος ἀναδραμών,
τὰς παλαίστρας ἀπεδείξω
πρὸς τοὺς ἀσάρκους δαίμονας
καὶ τούτους κατέβαλες.

Ἐπιτιμῶν ἀγρίοις ζώοις, πάτερ,
f. 170ᵛ λυμαινομένοις, ὅ‖σιε,
τὰς φυομένας πρὸς ἐδωδὴν
ἀνθρωπίνην χλοηφόρους
βοτάνας, ἐπρυτάνευσας
αἰτοῦσι βοήθειαν.

θεοτ. Νόμων σε δίχα φύσεως τεκοῦσαν
τὸν νομοδότην κύριον
γνόντες, ὑμνοῦμεν οἱ διὰ σοῦ
τῆς ἀρχαίας λυτρωθέντες,
εὐλογημένη δέσποινα,
δεινῆς κατακρίσεως.

ᾠδὴ δʹ. *Ἀκήκοεν ὁ προφήτης*

Θαμβούμενος παραδόξως
τῇ τοῦ ἁγίου πνεύματος,

52 περιέστειλε σοι 64 ἀνθρωπινὴν 67 Νόμων] τόμον
heirm. δʹ HC, 207 73 θαμπόμενος

69-72 Cfr. Gen. 3,16-19

ὅσιε, θέρμη,
τὸν ἐκ ψύχους ἐκαρτέρησας
ἐπὶ χρόνους πλείονας, Ἱλάριε,
ὑποπιασμόν,
πίστει θαυμαζόμενος.

Ἀρρωστημάτων παντοίων
τοὺς προσιόντας σοι πίστει
ἀπελυτρώσω
καὶ πνευμάτων ἐνοχλήσεως
ἀκαθάρτων, ὅσιε Ἱλάριε,
λαβὼν ἐκ Θεοῦ
χάριν τε καὶ δύναμιν.

Πολυειδεῖς πειρασμούς σοι
ἐχθρὸς ὁ πολυμήχανος
προσεπεγείρας,
τῇ ἀτρέπτῳ καρτερίᾳ σου
καταισχύνθη, ὅσιε Ἱλάριε,
φωστὴρ μοναστῶν,
ὁσίων ἀγλάϊσμα.

Ἐσφραγισμένην σε πύλην
προφήτης προεώρακεν,
δι᾽ ἧς εἰσῆλθεν
καὶ ἐξῆλθεν ὁ Θεὸς ἡμῶν,
κεκλεισμένην πάλιν καταλείψας σε,
παρθένε ἁγνή·
ὅθεν σε δοξάζομεν.

ᾠδὴ ε΄. *Ἀνάτειλόν μοι, κύριε,*

Ἀνέτειλεν ἡ μνήμη σου
ὡς ἥλιος, φωτίζουσα
τῆς οἰκουμένης τὰ πληρώματα,
φωστὴρ τῆς ἐκκλησίας,

---

78 ὑπὸ πιασμὸν 87 πειρασμοῖς 89 πρὸς ἐπιγείρας
heirm. ε΄ EE. 106, n. 149, Andreae

94-95 Ez. 44,1-2

ἱερὲ Ἱλάριε,
μοναστῶν ἀγλάϊσμα
καὶ θαυμάτων αὐτουργέ.

Τυφλοῖς τὸ φῶς ἀπένειμας,
χωλῶν τὰς βάσεις ἔστησας
καὶ παρειμένοις, πάτερ ὅσιε,
παρέσχες τὴν ὑγείαν,
ἐκ Θεοῦ δεξάμενος
χάριν τε καὶ δύναμιν
τεραστίων φοβερῶν.

f. 171 ‖ Πληγὴν χαλάζης ἔστησας
καὶ ὄμβροις γῆν κατήρδευσας
ταῖς προσευχαῖς σου, πάτερ ὅσιε,
Ἠλίας ὥσπερ πάλαι
πίστει θαυμαζόμενος,
οὗ τὸν ζῆλον ἔσχηκας
καὶ τὴν πίστιν πρὸς Θεόν.

θεοτ. Ἑπτάφωτον λυχνίαν σε
καὶ ὄρος ἀλατόμητον
καὶ γῆν ἁγίαν ὀνομάζομεν
καὶ στάμνον, θεοτόκε,
θεῖον μάννα φέρουσαν,
δι᾽ οὗ ἐλυτρώθημεν
τῆς πικρίας τῶν παθῶν.

ᾠδὴ ϛ΄. *Ζάλη με λογισμῶν καταλαβοῦσα*

Ἔστησας ἐπὶ πέτραν ἀπαθείας
τὰς βάσεις, Ἱλάριε,
τῆς σῆς ἁγίας καρδίας
καὶ προσέσχε Θεὸς ταῖς προσευχαῖς
καὶ ταῖς δεήσεσί σου,
ὑπερβαλλόντως δοξαζόμενος.

---

126 φέρουσα
heirm. ϛ΄ EE 107, n. 150, Andreae

115-118 Cfr. Jac. ep. 5,17-18; Regn. III 18,44-45 123 Dan. 2,34

Τίμιος ἐναντίον τοῦ κυρίου
ὁ σὸς ὤφθη θάνατος,
θεόφρον, καὶ διὰ τοῦτο
ἀτελεύτητον νῦν ἐν οὐρανοῖς
ἀνάπαυσιν κληροῦσαι
καὶ αἰωνίζουσαν εὔκλειαν.

Πίστιν τε καὶ ἐλπίδα καὶ ἀγάπην
ἐκτήσω ἀνόθευτον
ἐν ταπεινώσει καρδίας·
διὰ τοῦτο σημείοις σε Χριστὸς
καὶ τέρασι δοξάζει
ἀδιαλείπτως, Ἱλάριε.

θεοτ. Τέτοκας ἀπειράνδρως, θεοτόκε,
τὸν πλάστην τῆς φύσεως
καὶ μετὰ τόκον παρθένος
ἐφυλάχθης· διό σε οἱ πιστοὶ
ὡς πάντων βασιλίδα
μεγαλοφρόνως δοξάζομεν.

ᾠδὴ ζʹ. *Τῇ εἰκόνι τῇ χρυσῇ*

Ἀπαθείᾳ λαμπρυνθείς,
ἱερωσύνης, παμμάκαρ,
ἐδέξω θεῖον χρῖσμα, Ἱλάριε,
καὶ ἀναιμάκτους Θεῷ θυσίας
προσενήνοχας πιστῶς,
καθαγιάζων εὐσεβῶν
κραυγάζων συστήματα·
« εὐλογητὸς ὁ Θεός, ὁ τῶν πατέρων ἡμῶν ».

Τῇ ἀσκήσει φαιδρυνθεὶς
ὥσπερ χρυσὸς ἐν καμίνῳ,
δοχεῖον ὤφθης τοῦ θείου πνεύματος

heirm. ζʹ EE 107, n. 150, Andreae

καὶ ἐπιθέσει σεπτῶν χειρῶν σου
ἐθεράπευσας πολλοὺς
καὶ συμφορᾶς πνευματικῆς
ἐρρύσω κραυγάζοντα·
« εὐλογητὸς ὁ Θεός, ὁ τῶν πατέρων ἡμῶν ».

f. 171v || Στενοτάτην ὑπελθών,
πάτερ Ἱλάριε, κέλλαν,
πρὸς θεωρίαν τὸν νοῦν ἐπλάτυνας
καὶ στενούμενος ταῖς ἐπηρείαις
τῶν ἀσάρκων δυσμενῶν,
παρεμυθήσω σωστικαῖς
εὐχαῖς σου κραυγάζοντα·
« εὐλογητὸς ὁ Θεός, ὁ τῶν πατέρων ἡμῶν ».

θεοτ. Οἰκητήριον ἡ σὴ
νηδύς, παρθένε, ἐδείχθη
τοῦ κατοικοῦντος τὰ ἐπουράνια,
ὃν ἐκδυσωπεῖ πάντας γενέσθαι
τοῦ πατρὸς καὶ τοῦ υἱοῦ
καὶ θείου πνεύματος, ἁγνή,
τερπνὰ καταγώγια,
τοὺς ἐν ἁγίῳ ἀνυμνολογοῦντάς σε ἀεί.

ᾠδὴ ηʹ. *Γῆ καὶ πάντα τὰ ἐν αὐτῇ*

Παρεπίδημος ἐπὶ γῆς
γέγονας, Ἱλάριε σοφέ,
ταῖς σκληροτάταις ἀγωγαῖς
κατατήξας, πάτερ, τὸ σῶμα
καὶ τοῦτο τελέσας
τοῦ σεπτοῦ οἰκητήριον πνεύματος·
ὅθεν σε τιμῶμεν
ἐν πίστει συνελθόντες.

heirm. ηʹ EE 107, n. 150, Andreae
167 κραυγάζοντα pro κραυγάζων cfr. v. 175

Τὴν πολλήν σου πρὸς τὸν Θεόν,
ὅσιε, ἐθαύμασαν στοργὴν
τῶν ἀσωμάτων οἱ χοροί·
μετὰ σώματος γὰρ γηΐνου
αὐτοὺς ἐμιμήσω,
ὑμνῳδίαν προσάγων ἀέναον
καὶ δι' ἐγκρατείας
τὰ πάθη ὑποτάσσων.

Ἐπὶ ὄρος ἀναδραμών,
πάνσοφε, σεπτῶν θεωριῶν,
κατελαμπρύνθης τὴν ψυχὴν
καὶ τὰ ἄρρητα ἐμυήθης
καὶ στῦλος ὠράθης
θεαυγής, τῶν πιστῶν προηγούμενος·
ὅθεν σε τιμῶμεν,
Ἱλάριε θεόφρον.

θεοτ. Σὲ τὸ ὄρος τὸ ἐμφανές,
τράπεζαν ἐν ᾗ ὁ τῆς ζωῆς
ἄρτος ἐτέθη μυστικῶς,
τῶν ἀγγέλων τὴν ἀνωτέραν,
τὴν ἄφλεκτον βάτον,
τὸ χωρίον Θεοῦ τὸ εὐρύχωρον
ἀνυμνολογοῦμεν,
παρθένε θεοτόκε.

ᾠδὴ θ'. *Ὅτι ἐποίησέ μοι*

Ἱλαρωτάτῃ γνώμῃ
ἐθεράπευσας τὸν Χριστόν,
Ἱλάριε, πατέρων καλλονή·
διὰ τοῦτό σε χοροῖς
τῶν ἀπ' αἰῶνος || ἐκλεκτῶν
νῦν συνηρίθμησεν.

---

194 θαυμάσαν
heirm. θ' ΕΕ 106, n. 149, Andreae

Ὡς ῥόδον καὶ ὡς κρίνον
εὐωδίασας τοὺς πιστοὺς
θαυμάτων ἡδυπνόων ταῖς ὀδμαῖς,
εὐωδία τοῦ Χριστοῦ
γεγενημένος ἀληθῶς,
πάτερ Ἱλάριε.

Στησώμεθα χορείαν
συνελθόντες πνευματικὴν
καὶ πίστει ἐπαινέσωμεν θερμῇ
Ἱλαρίου τοῦ σοφοῦ
τὴν πολιτείαν τὴν σεμνήν,
Θεὸν δοξάζοντες.

Ἡ γῆ πανηγυρίζει
ἐν τῇ μνήμῃ σου τῇ σεπτῇ,
Ἱλάριε, θεράπον τοῦ Χριστοῦ,
ἐν ᾗ αἴτησαι ἡμῖν
ἁμαρτημάτων καὶ παθῶν
λύσιν δεόμεθα.

θεοτ. Φωτὸς οὖσα δοχεῖον,
φωταγώγησον τὰς ἡμῶν
καρδίας τῶν ὑμνούντων σε ἀεὶ
ὀρθοδόξῳ λογισμῷ,
θεοχαρίτωτε ἁγνή,
μήτηρ Χριστοῦ τοῦ Θεοῦ.

4 APRIL.

CANON XI

IN SANCTUM THEODULUM ET AGATHOPUM

Synaxarium, 583-586: Τούτων ὁ μὲν Θεόδουλος νεώτερος ἦν, ὁ δὲ Ἀγαθόπους διάκονος, ἀμφότεροι δὲ ὑπῆρχον ἐκ πόλεως Θεσσαλονίκης. Χριστιανοὶ δὲ ὄντες παρέστησαν Φαυστίνῳ τῷ ἄρχοντι· καὶ μὴ πεισθέντες θῦσαι τοῖς εἰδώλοις, προσδεθέντες λίθοις τῷ βυθῷ τῆς θαλάσσης ῥίπτονται, καὶ οὕτως ἐν Χριστῷ τελειοῦνται.....

Crypt. Δ.α. XVII	= Ck,	ff.	132v-136
Crypt. Δ.α. VIII	= Do,	ff.	12v-15
Paris. gr. 1564	= Py,	ff.	9v-11
Vat. gr. 2008	= Vm,	ff.	133v-134v
Mess. gr. 121	= Mh,	ff.	74-76
Vallic. gr. E 54	= Ea,	ff.	172v-174
Reg. gr. 61	= Lo,	ff.	47-48v
Paris. Coislin gr. 309	= H,	ff.	166-168v
Paris. gr. 13	= Q,	ff.	294-294v

Ὁ κανὼν φέρων ἀκροστιχίδα·
Τῶν σῶν γεραίρω μαρτύρων, Χριστέ, κλέος· ὁ Ἰωσήφ.

Ἦχος δ'.

ᾠδὴ α'. *Θαλάσσης τὸ ἐρυθραῖον πέλαγος*

Τὸν θεῖον τοῦ μαρτυρίου στέφανον
ἀναδησάμενοι,
λελαμπρυσμένοι κάλλει νοητῷ
τῷ δεσπότῃ παρίστασθε

tit. Μηνὶ τῷ αὐτῷ ε' τῶν ἁγίων ... Q; Ck: Ἕτερος κανὼν τῶν μαρτύρων... pospositus invenitur canoni: Τρισσοφαεῖ τῆς θεαρχίας λαμπρότητι ... MR IV, 246-250 ὁ κανὼν φέρων ἀκροστιχίδα τήνδε Mh Lo Ὁ Ἰωσήφ om. Mh Lo H in margine Py Ea
heirm. α' EE 94, n. 133, Joannis 2 ἀναδησάμενος Lo 3 λελαμπρυσμένη Q 4 παρίστασθαι Lo παρίστασαι Mh

1-2 AA. SS. Aprilis I, (1675) XLII, § 1: Ἵνα τὸν τῆς εὐδοξίας ἀναδήσηται στέφανον.

ὑπὲρ ἡμῶν δεόμενοι,
πανευκλεεῖς μεγαλομάρτυρες.

Ὡραίως τὴν πρὸς Θεὸν ποιούμενοι,
σοφοί, οἰκείωσιν,
τῆς εἰδεχθοῦς κακίας τοῦ ἐχθροῦ
εὐσεβῶς ἐμακρύνατε
καὶ ὁμηγύρει χαίροντες
τῶν ἀθλοφόρων ἠριθμήθητε.

Ναμάτων ζωοποιῶν τοῦ πνεύματος
ὄντες ἀνάπλεοι,
τῆς ἀγνωσίας πάλαι τῷ αὐχμῷ
τοὺς τακέντας ἠρδεύσατε
ἀγαθοδότως, ἅγιοι,
θείοις ὑπείκοντες προστάγμασιν.

θεοτ. Σωτῆρα καὶ παντουργὸν καὶ κύριον
ἐκυοφόρησας,
ὃν Ἀγαθόπους ἅμα τῷ κλεινῷ
Θεοδούλῳ ἐκήρυξεν
ὄντα Θεὸν καὶ ἄνθρωπον,
παρθενομῆτορ παμμακάριστε.

ᾠδὴ β'. *Δῶμεν μεγαλωσύνην*

Ὡς ὄρθρος ὡς ἡμέρα
Ἀγαθόπους καὶ Θεόδουλος
ἀναφανέντες, φωταγωγοῦσιν
τῆς ἐκκλησίας τὸ πλήρωμα φαιδρῶς.

Νομίμως ἐναθλήσας
τοῦ Θεοῦ δοῦλος γεγένησαι,

7 ποιούμενοι] θεούμενοι Ck 9 τοῦ ἐχθροῦ] ἑαυτοὺς Py Q H om. Lo 10 εὐσεβῶς] ἑαυτοὺς Do Vm Lo 13 ναμάτων] θαυμάτων Ea 15 ἀγαθῷ Do Py Mh Ea 22 ἐκήρυξαν Py 24 παμμακάριστε] παναμώμητε Py Mh Ea Lo Q πανάμωμε H
heirm. β' EE 94, n. 133, Joannis oden β' om. Mh Ea Lo H Q 28 φαιδρῶς] ἀεὶ Py

δηλοῖς τὴν κλῆσιν ἐνθέῳ πράξει
ἐπαληθεύουσαν, μάρτυς, ἐπὶ σοί.

Γηράλεον τὸ εἶδος,
Ἀγαθόπου, καὶ τὸ φρόνημα
σὺ κεκτημένος, τὰς μεθοδείας
τοῦ παλαιοῦ κατεπάτησας ἐχθροῦ.

θεοτ. Ἐκ σοῦ ἡ σωτηρία
τοῖς ἀνθρώποις ἀνατέταλκεν,
θεογεννῆτορ εὐλογημένη·
διό σε πᾶσαι ὑμνοῦμεν γενεαί.

f. 133 ‖ ᾠδὴ γ'. *Εὐφραίνεται ἐπὶ σοὶ*

Ῥημάτων σου ταῖς πλοκαῖς
συμποδισθεὶς ὁ δυσμενὴς
πέπτωκεν
καὶ προφανῶς ἤλεγκται,
μάρτυς ἀθλοφόρε Θεόδουλε.

Ἀγάπῃ τῇ πρὸς Θεὸν
νενευρωμένος τὴν ψυχήν,
ἔδειξας
πᾶσαν ἐχθροῦ δύναμιν,
μάρτυς Ἀγαθόπου, ἀνίσχυρον.

Ἰάματα τοῖς πιστοῖς
ἐξ ἀενάων ὀχετῶν
βρύοντες,
βρύσιν παθῶν, ἔνδοξοι,
θείᾳ δυναστείᾳ, ξηραίνετε.

---

31 δηλῶν Do Vm δεικνὺς Py 33 Γηραλαῖον Do
heirm. γ' EE 94, n. 133, Joannis 42 δυσμενὴς] δυσσεβὴς Ck 47 νενευρωμένως Mh 50 ἀνίσχυρος Mh 51 ἰάματα] νάματα Ck 53 βρύουσα Lo χρίοντες H 54 ἔνδοξαι Mh 55 ξηραίνεται Do Mh Ea

θεοτ. * Ῥυόμενον τοὺς βροτοὺς
αἰχμαλωσίας τοῦ ἐχθροῦ,
ἄχραντε,
τὸν λυτρωτὴν τέτοκας,
σάρκα τὴν ἡμῶν περικείμενον.

Κάθισμα.

Ἦχος α'. *Χορὸς ἀγγελικὸς*

Δυὰς πανευκλεὴς
ἀηττήτων μαρτύρων
πολύθεον ἀχλὺν
ἐξεδίωξε πλάνης
καὶ χαίρουσα ἤθλησεν
καὶ Θεῷ εὐηρέστησεν,
ὁ Θεόδουλος
καὶ ὁ στερρὸς Ἀγαθόπους·
τούτων σήμερον
εὐσεβοφρόνως τὴν μνήμην
πιστῶς ἑορτάσωμεν.

f. 133ᵛ ‖ ᾠδὴ δ'. *Ἐπαρθέντα σε ἰδοῦσα ἡ ἐκκλησία*

Ὡς φωστῆρες ἀνατείλαντες, φρυκτωρίαις
μαρτυρικῆς φαιδρότητος
τὸ τῆς οἰκουμένης
πλήρωμα φωτίζουσιν

56-60 θεοτ. MR IV, 291 56 ῥυόμενος Lo 60 ὅθεν εὐσεβῶς σε δοξάζομεν MR ἡμῶν] ἐμὴν H περικείμενος Mh
Κάθ. post oden ς' praebent Do Py; ipsum κάθ. extra canonem positum in Vm Mh Ea heirm. καθ. MR III, 481 heirm. καθ.: *Τὸν τάφον σου, σωτήρ, ...* Do Py Vm Mh Ea Lo Q proferunt 11 πιστοὶ Py Lo Q ἑορτάζομεν Ea Lo
heirm. δ' EE 94, n. 133, Joannis 61 ἀνατέλαντες φρυκτωρίας Mh 63 οἰκουμένης] οἰκονομίας Mh 64 πλήρωσιν Mh φωτίζετε H

οἱ ἔνδοξοι μάρτυρες,
πλάνης ἀμαυροῦντες κακόνοιαν.

Μακαρίας ξυνωρίδος ἐννοησάσης
τῶν ἀθλοφόρων στάδιον
τὸ τοῦ μαρτυρίου,
ἄγγελοι ἐθαύμασαν
καὶ ἄνθρωποι ᾔνεσαν
τὴν καρτερικὴν γενναιότητα.

Ἀγαλλόμενος Θεόδουλος ἀνεβόα·
« ὁδὸν δραμοῦμαι, κύριε,
τῶν σῶν μαρτυρίων
καὶ κατατερφθήσομαι
πλουτῶν σου τὴν ἔλλαμψιν
ἅμα τῷ στερρῷ Ἀγαθόποδι ».

θεοτ. Ῥητορεύοντες τὴν σάρκωσιν τοῦ δεσπότου
τοῦ ἐκ τῆς σῆς ἐκλάμψαντος
γαστρός, θεοτόκε,
μάρτυρες οἱ ἔνδοξοι
σωτήριον ἔπιον
πόμα, μαρτυρίου γηθόμενοι.

f. 134 || ᾠδὴ ε'. *Σύ, κύριέ μου, φῶς*

Τὸν πόδα σου σοφῶς
ἐν εὐθύτητι ἔστησας,
πανεύφημε Ἀγαθόπου,
τῆς σεπτῆς μαρτυρίας
ἐχθροὺς ὑποσκελίζοντα.

---

65 οἱ ἔνδοξοι] πανένδοξοι H 66 αὐμαυροῦντες Mh 67 εὐνοησάσης Mh Ea Lo H ἐναθλησάσης Q 68 τῶν ἀθλοφόρων] καὶ ἀνυσάσης Py Mh Lo Q om. H 70 ἐθαύμαζον Lo 80 ἐλλάμψαντος Ea H ἐλλάμψεως Lo 81 γαστρὸς] σαρκὸς H 83 σωτήριον] ποτήριον H

heirm. ε' EE 94, n. 133, Joannis 85 σαφῶς Do Py Vm Mh Lo Q 89 ὑποσκελίζοντας Lo ἀποσκελίζοντα Mh Ea

---

67-68 AA. SS. XLV, § 17: ... θρῆνός τε ἦν πολὺς καὶ δάκρυα τῶν ἐξ ἐθνῶν

Ὕδωρ τὸ εἰς ζωήν,
ἀθλοφόροι, ἀλλόμενον
ἐγκάρδιον κεκτημένοι,
τὸ ἀοίδιμον τέλος
δι' ὕδατος ἐδέξασθε.

Ῥοῦν τῆς εἰδωλικῆς
ἀπειλῆς ἐξηράνατε,
ῥιπτόμενοι, ἀθλοφόροι,
εἰς βυθὸν τῆς θαλάσσης
καὶ γνώμῃ θανατούμενοι.

θεοτ. * Ὦ μῆτερ τοῦ Θεοῦ,
τῆς ψυχῆς μου τὴν κάκωσιν
θεράπευσον ἡ τεκοῦσα
ὑπεράγαθον Λόγον,
τὸν πάντας ἀγαθύνοντα.

ᾠδὴ ϛ'. *Θύσω σοι*
μετὰ φωνῆς αἰνέσεως, κύριε,

Ναμάτων
ζωηρρύτων ὑπάρχοντες ἔμπλεοι,
τὸ ἀξιέπαινον τέλος
πνιγμονῇ ὑδάτων ἐδέξασθε,
τῆς κακίας
ἐν αὐτοῖς τὸν προστάτην συμπνίξαντες.

Χάριτι
καὶ δυνάμει Θεοῦ συντηρούμενοι,
οὐ παρετράπητε θῦσαι

---

92 κεκτημένη Lo 95 ῥοῦν] νοῦν Ea 97 ῥιπτούμενοι Do Py Vm Mh Ea Lo H Q 98 εἰς βυθοὺς θαλαττίους Py Lo H Q 100-104 θεοτ. MR I, 215 100 μητηρ Mh 101 τὴν] τῇ Mh 103 ὑπεράγαθον] τὸν πανάγαθον Py Mh Ea Lo H Q MR 104 ἀγαθύνοντας H

βδελυκτοῖς εἰδώλοις, ἀλλὰ θυσίαν
τῷ δεσπότῃ
ἑαυτοὺς καθαρὰν προσηγάγετε.

Ῥομφαῖαι
τοῦ ἐχθροῦ ἐν ὑμῖν ἐξησθένησαν·
ἐστιλβωμένα γὰρ βέλη
τῆς ὑμῶν ἀνδρείας ἐπήξατε,
f. 134v ἀθλο || φόροι,
ἐν καρδίᾳ αὐτοῦ, γενναιότατοι.

θεοτ. Ἴασαι
τῆς ψυχῆς μου τὰ πάθη, πανάμωμε,
τῆς ἀπαθείας τεκοῦσα
τὴν πηγὴν καὶ παῦσον τὴν τυραννίδα
τῶν ἀπαύστως
ταραττόντων, ἁγνή, τὴν καρδίαν μου.

f. 135 || ᾠδὴ ζ'. *Ἐν τῇ καμίνῳ*
Ἀβραμιαῖοι παῖδες τῇ περσικῇ

Συνέσει θείᾳ
λευϊτικὴν στολὴν ἐνεδέδυσο,
ταύτην
μαρτυρίου λάμψεσιν ἱερῶς
λαμπροτέραν ἐργασάμενος
καὶ νῦν παρίστασαι,
Ἀγαθόπου, τῷ Λόγῳ γηθόμενος.

Τῇ τοῦ πρωτάθλου
διακονίᾳ σεμνυνόμενος,
Λόγῳ

114 εἰδώλοις] ξοάνοις Py Mh Ea Lo H Q 117 ῥομφαία Lo H 118 ἐξησθένησεν Lo 126 πηγὴν] γῆν Mh 128 ταραττόντων] σπαραττόντων H ἁγνή] ἀεὶ Ck

heirm. ζ' EE 94, n. 133, Joannis 130 ἐνδέδυσαι Do Py Lo H Q

τῷ τυθέντι, μάκαρ, διακονεῖν,
Ἀγαθόπου, κατηξίωσαι,
« εὐλογημένος εἶ
ὁ Θεός μου » κραυγάζων « καὶ κύριος ».

Ἐν ὁμονοίᾳ
τὸ ἓν φρονοῦντες, ἀξιάγαστοι,
μίαν
τοῦ θανάτου πεῖραν διὰ Χριστὸν
ὑπεμείνατε, κραυγάζοντες·
« εὐλογημένος εἶ
ἐν τῷ ναῷ τῆς δόξης σου, κύριε ».

θεοτ. Κεκοσμημένην
τῶν ἀρετῶν, ἁγνή, τῇ λαμπρότητι
Λόγος
ἀρεταῖς καλύψας τοὺς οὐρανοὺς
εὑρηκώς σε, κατεσκήνωσεν
ἐν σοί, πανάμωμε,
καὶ τῶν βροτῶν τὴν φύσιν οὐράνωσεν.

ᾠδὴ η'. *Χεῖρας ἐκπετάσας Δανιήλ*

Λόγοις σου τὴν πλάνην ἀμαυρῶν,
σοφὲ Θεόδουλε,
σοφίας χάριτι
καταυγαζόμενος ἔλαμψας,

140 κατηξίωσεν Lo 141-142 om. Mh 142 ἐν τῷ ⟨ναῷ⟩ ... Lo H 143 Ἐν ὁμονοίᾳ] ὀνομονύα (sic) Mh 148-149 om. Mh 149 ὁ Θεός μου κραυγάζων καὶ κύριος Py Q 150 κεκοσμημένη Lo H 151 ἁγνή, τῇ λαμπρότητι] ἁγνεία λαμπρότησι H τῇ λαμπρότητι] λαμπρότησιν Py Mh Ea Lo Q 153 ἀρετῇ Py Mh Lo H Q 154 εὑρηκῶσαι (sic) Mh κατεσκήνωσεν om. H 156 οὐράνωσεν] ἐτράνωσεν Vm

heirm. η' EE 94, n. 133, Joannis 158 Θεόδουλε] Θεόφιλε Vm 159 χάρισι Py Q

πρὸ βημάτων τὴν εὐσέβειαν
ἀναφωνῶν καὶ δυσσεβῶν
ἐμφράττων στόματα
καὶ κραυγάζων·
« πάντα τὰ ἔργα ὑμνεῖτε τὸν κύριον ».

Ἔκρυψε θαλάττιος βυθὸς
ὑμῶν τὰ σώματα
οὐδόλως, ἅγιοι·
τῇ χέρσῳ ταῦτα γὰρ δίδωσι
θείᾳ νεύσει ἀδιάρρευστα,
ἀναπηγάζοντα ἡμῖν
σεπτὰ τεράστια
τοῖς βοῶσι·
« πάντα τὰ ἔργα ὑμνεῖτε τὸν κύριον ».

f. 135v ‖ Ὅλος δουλωθεὶς τῷ διὰ σὲ
ἐν δούλου σχήματι
φανέντι, ἔνδοξε,
καὶ μετὰ θάνατον πρόνοιαν
ὀρφανῶν φαίνῃ ποιούμενος
καὶ τῶν χηρῶν, δεσποτικὴν
νομοθεσίαν πληρῶν
ὡς εὐγνώμων
δοῦλος κυρίου, παμμάκαρ Θεόδουλε.

Σπάργανα καὶ στίγματα ὑμῶν
καὶ τὰ παλαίσματα
Θεσσαλονίκη τιμᾷ·
αὐτῆς γὰρ θρέμματα ὤφθητε

163 ἐμφράττων] ἐφράτων Mh 165 ὑμνεῖτε] κυρίου Py Ea v. om. Mh 169 ταῦτα γὰρ] γὰρ ταῦτα Mh Ea ταύτη Lo γὰρ] δὲ Q 170 θείᾳ νεύσει] ἐπινεύσει H 174 ὑμνεῖτε] κυρίου Ea v. om. Mh 175 ὅλως Lo H 176 δούλω Lo 179 φαίνειν H 180 χειρῶν Vm Mh 183 Θεόδουλε] Θεόδωρε Mh 184-192 troparium om. Lo

166-170 AA. SS. XLV, § 19: Θάλαττα δὲ ἡ τούτους δεξαμένη ῥήξασα τὰ δεσμὰ τῶν λίθων, πολὺ φαιδρότερα τοῖς οἰκείοις ἐπέδωκεν σώματα.
178-184 AA. SS. XLV, § 19: Οἷς καὶ μικρὸν ὕστερον ἐπιφανεὶς Θεόδουλος, ἅμα στολῇ καὶ τῷ πρέποντι σχήματι, προσέταττεν τὴν ἑαυτοῦ πᾶσαν οὐσίαν

καὶ ἐν ταύτῃ τὸ μακάριον,
ὡς ἀθλοφόροι ἀληθεῖς,
τέλος δεξάμενοι,
ἐκκλησίαν
τῶν πρωτοτόκων σαφῶς νῦν εὐφραίνεσθε.

θεοτ. Οὐ τρέψας τὴν φύσιν ὁ Χριστός,
ἐκ σοῦ τὸν ἄνθρωπον
ὅλον ἐφόρεσε,
θεοχαρίτωτε δέσποινα·
οὗ τὸ πάθημα Θεόδουλος
καὶ Ἀγαθόπους, οἱ στερροί,
ἐξεικονίσαντες,
ἐκβοῶσι·
« πάντα τὰ ἔργα ὑμνεῖτε τὸν κύριον ».

ᾠδὴ θ΄. *Λίθος ἀχειρότμητος ὄρους*

f. 136 ‖ « Ἰδοὺ τί καλὸν » ἀνεβόων
« ἢ τί τερπνὸν » οἱ ἀθλοφόροι,
« ἀλλ᾽ ἢ τὸ οἰκῆσαι εἰς πόλιν
Θεοῦ τοῦ ζῶντος »,
διατηρήσαντες
τῆς εὐσεβείας σύνδεσμον
μέχρι θανάτου ἀδιάλυτον.

Ὡς τοῦ μαρτυρίου τὸν δρόμον
τετελεκότας, ἀθλοφόροι,

189 ἀληθεῖς om. H 190 versum om. H 191 ἐ[illegible]σία Ck Do Vm H 192 σαφῶς] σεπτῶς Py νῦν σεπτῶς Q εὐφραίνεσθε] φαιδρ[illegible]αι Py Mh Ea H φαιδρύνετε Q 193 οὐ τρέψας] συτρέψας Lo ὁ Χριστός] ἀ[illegible]ῶς Ck Do Vm Lo 195 ὅλως Py θέλων H 197 τὰ παθήματα Ck τῷ πάθε[illegible] Lo 201 ὑμνεῖτε] κυρίου Ea Lo
heirm. θ΄ EE 94, n. 133, Joannis 202 ἀνεβό[illegible] Ck Vm Mh Lo H 204 ἀλλ᾽ ἢ τὸ] ἀλλὰ τῷ Mh Ea οἰκῆσαι] κατοικῆσαι Lo H 206 διατηρήσαντας Do Py Ea Q 208 ἀδιάλυτον] ἀδιάσπαστον Py Lo Ea H [illegible] ἀδιάπαυστον Mh 210 τετελεκότες Ck Vm H

ἡ χοροστασία τῶν ἄνω
ὑμᾶς ταγμάτων
καθυπεδέξατο
ἀμαραντίνοις, ἔνδοξοι,
στεφανουμένους διαδήμασιν.

Σήμερον λαμπρῶς ἑορτάζει
ἡ εὐκλεὴς Θεσσαλονίκη,
πᾶσαν πολιτείαν καὶ χώραν
συγκαλουμένη
ἐπὶ τῇ μνήμῃ ὑμῶν
μεθ' ὑψηλοῦ κηρύγματος,
ὦ Ἀγαθόπου καὶ Θεόδουλε.

Ἤρθητε πρὸς ἄρρητον δόξαν,
φωτοφανεῖς ὡς ἀθλοφόροι,
ἧς ἀξιωθῆναι τοὺς πίστει
ὑμῶν τελοῦντας
τὴν μνήμην πάντοτε,
ὡς παρρησίαν ἔχοντες,
ἐκδυσωπεῖτε, πανσεβάσμιοι.

θεοτ. * Φέγγει με τῆς σῆς εὐσπλαγχνίας
τὸν ἐν τῷ σκότει τῆς ἀγνοίας
κείμενον καταύγασον, μόνη
τὸν φωτοδότην
ἀποκυήσασα
καὶ λυτρωτὴν καὶ κύριον,
τὸν τοὺς ἁγίους στεφανώσαντα.

---

213 καθυπεπεδέξατο Do 214 ἀμαραντίνοις] ἐν ἀμαράντοις Q 215 στεφανουμένοις Ck Py Mh θείοις στεφάνοις H 216-222 troparium om. Lo 217 εὐκλεῆ Ck 218 πολιτείαν] πόλιν τε H 220 τὴν μνήμην Mh Ea 221 μεθ' ὑψηλοῦ] μεθουψιλοῦ (sic) Mh 223-229 troparium om. Mh 225 ἧς Ea 229 ἐκδυσωποῦντες Lo 230-236 θεοτ. PID ογ' 231 τὸν] τῶν Do Lo τὸ Mh 232 μόνη] κόρη H PID 234 ἀποικυήσασα Mh

IN SANCTAM THEODORAM THESSALONICENSEM

Synaxarium, 585 (*): Αὕτη ἡ ὁσία Θεοδώρα ἐκ νεα[illegible] ἡλικίας τὸν Χριστὸν ποθήσασα ἀπετάξατο· καὶ εἰς κοινόβιον ἐλθοῦσα [illegible]κάρη καὶ τὰς ἀρετὰς πάσας ἐφύλαξεν, ὑφ' ἓν κατορθώσασα. Τοιαύτην δὲ ὑπ[illegible]ὴν ἐκτήσατο καὶ τιμὴν πρὸς πάσας τὰς ἀδελφὰς καὶ πρὸς τὴν προεστῶσ[illegible], ὅτι καὶ μετὰ θάνατον ἔδειξεν ὅτι ἦν ζῶσα. Καὶ γὰρ τὸν βίον αὐτῆς κα[illegible]ρὸν καὶ ἀκίβδηλον φυλάξασα, ὡς ἔμψυχον στήλην αὐτὸν ταῖς ἀδελφαῖς κ[illegible]τέλιπε. Μετὰ δὲ χρόνον οὐκ ὀλίγον τῆς προεστώσης πρὸς Κύριον ἀπελθο[illegible]ης, καὶ αὐτῆς καθαρᾶς καὶ πνευματικῆς οὔσης, γέγονε συνδρομὴ πρὸς τὴν [illegible]δείαν αὐτῆς· νῆ γὰρ καὶ τῶν ἐπισήμων. Καὶ λαοῦ συναθροισθέντος εὐ[illegible]βῶν μοναχῶν καὶ ἐπισήμων ἀνδρῶν, γέγονε καθ' εἱρμὸν ἡ ἀκολουθία. [illegible] ἀνοιχθέντος τοῦ τάφου ἐν ᾧ ἡ ὁσία Θεοδώρα ἐναπέκειτο ἐπὶ χρόνον [illegible]λὺν πρὸς τὸ κατατεθῆναι τὴν προεστῶσαν πλησίον αὐτῆς, θαῦμα ἐξαίσ[illegible] γέγονε, τοῖς μὲν ὁρῶσιν ἔκπληξιν φέρον, τοῖς δὲ ἀκούουσι κατάνυξιν. [illegible] τόπου γὰρ ἐπιτηδείου πρὸς θεωρίαν τυγχάνοντος, πάντων βλεπόντων, ἡ πρὸ πολλοῦ νεκρὰ κειμένη Θεοδώρα τῇ μητρὶ ὥσπερ ζῶσα, ὢ τοῦ θαύ[illegible]ος, συνέσφιγξεν ἑαυτὴν τόπον δοῦσα. Τοῦτο τὸ ἐξαίσιον θεασάμενοι π[illegible]τες ἐκπληττόμενοι ἀνεβόων τό· « Κύριε ἐλέησον ». Ἔκτοτε δὲ καὶ μέχρ[illegible] νῦν σημεῖα πολλὰ ὁ Θεὸς ἐκεῖσε πεποίηκε διὰ τῆς ὁσίας ταύτης Θε[illegible]ρας· δαιμονῶντας γὰρ διαφόρους ἰάσατο, τυφλοὺς ὠμμάτωσε καὶ ἀσθ[illegible]ῖς ἀναριθμήτους ἐθεράπευσεν.

Crypt. Δ.α. XVII	= Ck,	ff. 137-141
Crypt. Δ.α. VIII	= Do,	ff. 15ᵛ-17ᵛ
Vat. gr. 2008	= Vm,	ff. 134ᵛ-135ᵛ
Paris. gr. 1564	= Py,	ff. 11ᵛ-13
Vallic. gr. E 54	= Ea,	ff. 175ᵛ-177ᵛ
Reg. gr. 61	= Lo,	ff. 49-50ᵛ

Ὁ κανὼν φέρων ἀκροστιχίδα·
Ὑμνεῖν σε, μῆτερ, προσθέτω Θεὸς χάριν· Ἰωσήφ.

Ἦχος πλ. α΄.

ᾠδὴ α΄. *Ἵππον καὶ ἀναβάτην*

Ὕμνοις θεοπρεπέσιν
ἀνευφημοῦντά σε,
Θεοδώρα ὁσία,
φωτιστικαῖς πρεσβείαις σου
f. 137v τὸν νοῦν μου κα‖ταύγασον καὶ τὸν λόγον
ἴθυνον
ἐπαινέσαι τὴν πολιτείαν σου.

Μέγιστον ἀσκουμέναις
ὤφθης ὑπόδειγμα,
ἐν μεγίστοις ἀγῶσι
τὸν βίον ἐκτελέσασα
καὶ τὸν ἐγκαυχώμενον ἐν κακίᾳ
δράκοντα,
Θεοδώρα, καταπαλαίσασα.

Νέκρωσιν ζωηφόρον
ἐπιποθήσασα,
ἐνεκρώθης τῷ κόσμῳ
καὶ τοῖς ἐν κόσμῳ πάθεσι,
Χριστὸν θεραπεύσασα, τὸν θανάτῳ
κτείναντα
τὸν τὸν θάνατον ἐπεισάξαντα.

tit. Ἕτερος κανὼν τῆς ὁσίας Ck, qui enim alterum canonem refert: Τὸν δρόμον τὸν ἱερὸν τελέσαντες ... MR IV, 251-256 Ὁ κανὼν εἰς τὸν ὄρθρον φέρων ... Do ὁ κανὼν φέρων ἀκροστιχίδα τήνδε ... Lo Nomen Ἰωσήφ in margine scriptum est in Ea Lo om. Py

heirm. α΄ EE 131, n. 182, Joannis 1 θεοτερπέσιν Vm Py Ea Lo 2 ἀνευφημοῦντά σε] ἀνευφημήσωμεν Lo ἀνευφημοῦντές σε Py Ea 5 τῶν λόγων Lo 8 ἀκουσμέναις Lo 15-21 troparium om. Ea 19 θεραπεύουσα Py τὸν] τῷ Ck τὸς Do

Ἔρωτι φλεγομένη
τοῦ παντοκράτορος,
προσευχαῖς ἀνενδότοις
ἐσχόλασας, ἀοίδιμε,
προχέουσα δάκρυα, Θεοδώρα,
πάντοτε
μολυσμῶν σε ἀποκαθαίροντα.

θεοτ. Ἴασαι τῆς ψυχῆς μου
τὰ ἀρρωστήματα
καὶ τὰ ἄμετρα πάθη,
ἁγνὴ θεοχαρίτωτε,
καὶ σῶσόν με δέομαι, τὸν σωτῆρα
κύριον
σωματώσασα ὑπὲρ ἔννοιαν.

ᾠδὴ γ΄. *Ὁ πήξας*
ἐπ᾽ οὐδενὸς τὴν γῆν τῇ προστάξει σου

Νοός σου
τὰς ἱερὰς κινήσεις ἑκάστοτε
ποιουμένη, μῆτερ,
πρὸς τὸν ποθούμενον,
ὤφθης ἀνωτέρα σαρκικῶν
παθῶν καὶ τῶν ἐν βίῳ
πάντων ἡδέων θείᾳ χάριτι,
ὡς ἀγγελικὸν βίον ζήσασα.

Σαρκί σου
τὴν ἁμαρτίαν ὄντως κατέκρινας,
ἐγκρατείᾳ ταύτην
καταμαράνασα
καὶ ταῖς ὁλονύκτοις προσευχαῖς,

22 φλεγομένη] φθεγγομένη Ck 26 προχέουσα δάκρυα] δάκρυα προχέουσα Py Ea Lo Θεοδώρα] μολυσμῶν σε Do Vm 28 μολυσμῶν σε] Θεοδώρα Do Vm ἀποκαθαίρουσα Lo

heirm. γ΄ EE 131, n. 182, Joannis 41 καὶ τῶν ἐν βίῳ] των ἐν τῷ βίῳ Lo 42 πάντων ἡδέων] καὶ τῶν εἰδέων (sic) Lo 48 ὁλονύκταις Ea

παρθένε Θεοδώρα,
f. 138 μοναζου‖σῶν θεῖον ἀγλάϊσμα
καὶ περιφανὲς ἐγκαλλώπισμα.

Ἐμφρόνως
σοῦ φυλακὴν τῷ στόματι τέθηκας,
μὴ ἀνασχομένη
μάταια φθέγγεσθαι,
μόνον δὲ ὑμνεῖν διὰ παντὸς
ἀγγέλων ἐν μιμήσει
τὸν ὑπερύμνητον Θεὸν ἡμῶν,
τούτου φλεγομένη τῷ ἔρωτι.

θεοτ. Μητέρα
τοῦ πρὸ αἰώνων Λόγου ἐκλάμψαντος
ἐκ πατρὸς ἀρρεύστως
μόνην σε ἔγνωμεν,
ἄχραντε θεόνυμφε· διὸ
τὸ « χαῖρέ » σοι βοῶμεν,
εὐλογημένη, καὶ δεόμεθα
πλήρωσον χαρᾶς τὰς ψυχὰς ἡμῶν.

ᾠδὴ δ'. *Τὴν θείαν ἐννοήσας σου κένωσιν*

Ἡ θήκη ἔνθα κεῖται τὸ σῶμά σου
πηγὴ ἰάσεων ἡμῖν
f. 138ᵛ ‖ θεοδωρήτων δεδώρηται
τοῖς εὐσεβῶς προσιοῦσι,
παρθένε Θεοδώρα θεόνυμφε.

50 θείων Py Ea 55 μάταια] μάταις Ea 56 ὑμνεῖν] ἡμῖν Lo 59 τούτου] μόνη Ea φλεγομένη om. Ea τοῦτον Lo 63 ἔγνωμεν] εὕρομεν Py Post oden γ' κάθ. praebet Lo: ἦχος πλ. δ' *Το προσταχθὲν μυστικῶς*. Ταῖς ἀγρυπνίαις ταῖς πολλαῖς / σαρκὸς κινήσεις / κατακοιμήσασα, σεμνή, / πρὸς φῶς μετέβης τὸ ἀνέσπερον ὄντως ἐν ἀγαλλιάσει· / διό σου / τὴν φωτοφόρον μνήμην ἡμεῖς / τελοῦντες / ἐν εὐφροσύνῃ πνευματικῇ, / δυσωποῦμέν σε μνήσθητι / πρὸς τὸν δεσπότην ἡμῶν / τῶν πίστει μεμνημένων σου, / Θεοδώρα θεόπνευστε. Ipsum κάθ. post oden ς' praebet Py τελοῦμεν cd.
heirm. δ' EE 131, n. 182, Joannis

Τὴν ἐλεημοσύνην ποθήσασα
καὶ τὴν ἀγάπην ἐν ψυχῇ,
σεμνή, κτωμένη ἀνόθευτον,
τοῦ ἐλεήμονος Λόγου
ἐδείχθης καθαρὸν ἐνδιαίτημα.

Ἐν ἄκρᾳ ἡσυχίᾳ τὸν βίον σου
καὶ ἀναπτύξει ἱερῶν
λογίων πίστει ῥυθμίζουσα,
καθάπερ νύμφη ὡραίως
ταῖς θείαις ἀρεταῖς κεκαλλώπισαι.

Ῥαγέντα τὸν ἐχθρὸν καὶ πατούμενον
ὑπὸ ποδῶν παρθενικῶν
κατευθυνθέντων ἐν χάριτι
σωτηριώδεις πρὸς τρίβους
ὁρῶντες, τὸν δεσπότην δοξάζομεν.

θεοτ. Ποθοῦσά σε, παρθένε, ὀπίσω σου
προσαπηνέχθη, βασιλεῖ
τῷ σαρκωθέντι ἐκ μήτρας σου
ἡ εὐκλεὴς Θεοδώρα,
ψυχῆς ἀγαλλιάσει χορεύουσα.

ᾠδὴ ε'. *Ὁ ἀναβαλλόμενος*
φῶς ὡς ἱμάτιον

Ῥύονται προσψαύοντες
τῷ θείῳ τάφῳ σου
χρονίου πάθους
ἐκδαπανῶντος
καὶ θάνατον τίκτοντος
οἱ σέ, Θεοδώρα,
προστάτιν εὐμοιρήσαντες.

81 ὡραῖος Ck ὡραία Lo 86 σωτηριώδη Ck 8[illegible] δοξάσωμεν Py Ea
heirm. ε' EE 131, n. 182, Joannis 93 προσψαύσ[illegible]ς Py Lo 95 χρονίους Ck 99 προστάτην Vm Ea Lo εὐμυρήσαντες Vm

Οἱ κατατρυχόμενοι
καὶ ἐνεργούμενοι
ὑπὸ πνευμάτων
τῆς πονηρίας
ψαύοντες τῇ θήκῃ σου
πίστει, Θεοδώρα,
τὴν ἴασιν λαμβάνουσιν.

f. 139 ‖ Σὲ τὴν σχοῦσαν πτέρυγας
χρυσᾶς ἐν πνεύματι
καὶ πετασθεῖσαν
πρὸς θεῖον ὕψος
καὶ νῦν καταπαύσασαν
εἰς μονὰς ὁσίας
ἀξίως μακαρίζομεν.

θεοτ. Θέλων ὑπεξέλκομαι
καὶ δελεάζομαι,
κακῶν ἰδέαις
ψυχὴν μολύνων·
διό με ἐπίστρεψον
τῇ σῇ μεσιτείᾳ
καὶ σῶσόν με, πανάμωμε.

ᾠδὴ ς'. *Μαινομένην κλύδωνι*

Ἕλκουσα ἐγκράτειαν
πλὴν λαχάνου τεσσαρακοστῆς
ἐν ἡμέραις θείαις οὐ μετέλαβες,
μακαρία,
τρίβον στενὴν διοδεύσασα.

Τῇ τοῦ θείου πνεύματος
θαλπομένη χάριτι, σεμνή,

111 καὶ ἐγκαταπαύσασαν Lo 113 ἀξίως] ὁσία Py Ea Lo 116 v. om. Lo
heirm. ς' EE 131, n. 182, Joannis 121 ἕλκουσαν Ea 122 τεσσαρακοστῇ Do τῆς σαρακοστῆς Ea 123 θείαις σου Py 125 διοδεύουσα Do Py Ea

ῥιγῶντας πίστει σοι προστρέχοντας
θεραπεύεις,
Θεοῦ εἰς δόξαν καὶ αἴνεσιν.

Ὡς ὡραίαν κάλλεσιν,
ὡς τιμίαν καὶ φωτοειδῆ
τοῦ δεσπότου νύμφην μακαρίζομεν,
Θεοδώρα,
μοναζουσῶν ἐγκαλλώπισμα.

θεοτ. Θεοτόκε δέσποινα,
ἡ τεκοῦσα φῶς τὸ ἐκ φωτός,
τὴν ψυχήν μου φώτισον τυφλώττουσαν
ἀμελείᾳ
καὶ πονηραῖς παραβάσεσιν.

Κάθισμα.

Ἦχος πλ. α'. *Τὸν συνάναρχον Λόγον*

Φυλακῇ τῶν χειλέων
Θεῷ προσέχουσα,
f. 139v τῶν γραφῶν ‖ ἀναπτύξει
τὸν νοῦν φαιδρύνουσα,
τὴν λαμπάδα τῆς ψυχῆς
πλουσίως ἄρδουσα
τῷ ἐλαίῳ εὐσεβῶς
τῶν φαιδροτάτων ἀρετῶν,
εἰσῆλθες πρὸς τὸν νυμφῶνα
τὸν μυστικόν, Θεοδώρα,
Χριστῷ πρεσβεύουσα
ἐλεηθῆναι ἡμᾶς.

131 κάλλεσιν] κάλλει σε Do Vm Lo 132 φωτοειδῆ] θεοειδῆ Py 137 τὸ ἐκ] ἐκ τοῦ Py
κάθ. praeponitur canoni in Ea, post oden γ' in Py, om. in Lo. In Lo κοντάκ. Τὸ σῶμα τὸ σὸν νηστείαις . . . HR, 132 et οἶκ. Ὅσοι ἐν βίῳ ἐν ἁμαρτίαις ἐμολύνατε . . . AK, 163 heirm. καθ. HR, 230

ᾠδὴ ζ′. *Ὁ ὑπερυψούμενος*

Ἔφλεξας τὰ ἔνυλα
πάθη, θεοφρούρητε,
πυρὶ θείου πνεύματος,
ἀΰλως τῷ ἔρωτι
τῷ θείῳ φλεγομένη,
Θεοδώρα μακαρία.

Ὀφθαλμοὺς διήνοιξας
δεξαμένους πήρωσιν
ἁρμονίας, πόνους δὲ
κουφίζεις ἐν χάριτι
καὶ πᾶσαν ἄλλην νόσον,
Θεοδώρα, θεραπεύεις.

Στόμα σου πρὸς αἴνεσιν
ἀπαύστως διήνοιξας.
Θεοῦ παντοκράτορος,
ἀΰλους ἐν σώματι
ἐνύλως μιμουμένη,
Θεοδώρα μακαρία.

τ. Χαίρουσα νοήματα
κλώθουσα ὡς νήματα,
ὡραῖον ἐξύφανας
τῷ Λόγῳ ἱμάτιον,
παρθένε, ἐξ αἱμάτων,
ὃ φορεῖ εἰς τοὺς αἰῶνας.

40 ‖ ᾠδὴ η′. *Σοὶ τῷ παντουργῷ*

Ἄνοσον ψυχὴν
ἀπὸ παθῶν, ὁσία,

heirm. ζ′ EE 131, n. 182, Joannis 142 θεοφρούρητε] θεραπεύσατε Lo 143 πυρὶ θείῳ πνεύματι Lo πυρὶ θείου] πυρίθηου (sic) Do 154 ἄπαυστον Py 155 παντοκράτορος] παμμακάριστε Ea 157 ἀΰλως Ck Do Vm ἐν ὕλῳ Py Ea Lo 158 μακαρία] πανοσία Py 159 χαίρουσα] φέρουσα Ea 164 ὧν φορεῖς Py
heirm. η′ EE 131, n. 182, Joannis

τηρήσασα χάριτι
τοῦ παντοκράτορος,
νόσους καθαίρεις
καὶ παύεις μαλακίας
τῶν σοὶ προστρεχόντων
ἐν πίστει, Θεοδώρα.

Ῥῆμα πονηρὸν
τῶν σῶν ἁγνῶν χειλέων
οὐδόλως προέκυψε·
τὴν γὰρ διάνοιαν
εἶχες πρὸς μόνον
Χριστὸν ἀσχολουμένην
καὶ φανταζομένην
αὐτοῦ τὸ θεῖον κάλλος.

Ἴδωσαν λαοὶ
τῇ σῇ κηδείᾳ θαῦμα·
μητρὶ γὰρ τεκούσῃ σε
τιμὴν ἀπένειμας,
ζῶντος καθάπερ
τοῦ σοῦ ἁγίου σκήνους
μετακινηθέντος
καὶ ταύτην δεξαμένου.

θεοτ. Νέκρωσον ἡμῶν
τὴν ζῶσαν ἁμαρτίαν
ζωὴν ἡ κυήσασα
τὴν ἐνυπόστατον,
μόνη παρθένε
ἁγνὴ εὐλογημένη,
ἵνα σε ὑμνῶμεν
εἰς πάντας τοὺς αἰῶνας.

168 τοῦ θείου πνεύματος Lo 170 καὶ πᾶσαν μαλακίαν Ea Lo 174 ἁγνῶν] ἁγνὴ Do 178 θεὸν ἀσχολουμένη Lo Χριστὸν] Θεὸν Py Ea 179 φανταζομένη Lo 181 Ἴδωσαν acrostichis postulat pro εἴδοσαν 183 hic hymnus abrumpitur in Lo 194 ἁγνὴ] ἀεὶ Ea εὐλογουμένη Ea 195 ὅπως σε ὑμνῶμεν Py ὑμνοῦμεν Ck Vm καὶ δεδοξασμένη Ea

f. 140v ‖ ᾠδὴ θ′. *Ἠσαΐα χόρευε*
ἡ παρθένος
ἔσχεν ἐν γαστρὶ

Ἱερὸν συνάθροισμα,
ὑμνῳδίαις
δεῦτε ἱεραῖς
παρθένου πανευκλεοῦς
μνήμην ἱερὰν
ὁσίως τελέσωμεν,
ἁγιασμόν τε καὶ φωτισμὸν
ταύτης δεήσεσιν
εὐπροσδέκτοις κομιζόμενοι.

Ὡς τρυγὼν φιλήσυχος,
ὡς ὡραία
ὄντως χελιδών,
ὡς εὔλαλος ἀηδών,
ὡς περιστερὰ
σχοῦσα χρυσᾶς πτέρυγας
ἐπετάσθης πρὸς τοὺς οὐρανούς,
ἔνθα ἐκέκτησο,
Θεοδώρα, τὸ πολίτευμα.

Σοῦ τὸ σῶμα φύσεως
τεθαμμένον
νόμῳ ἐπὶ γῆς,
ἰάσεων ποταμοὺς
βρύει τοῖς πιστοῖς
καὶ θάπτει τὰς φάλαγγας
καθ' ἑκάστην τὰς δαιμονικάς,
τοὺς τεθαμμένους τε
ἀρρωστίαις ἐξανίστησιν.

Ἡ ψυχή σου ἄμωμος
ἐπορεύθη

heirm. θ′ EE 131, n. 182, Joannis 202 αἰσίως Do Vm 219 βρύεις Ea τοῖς πιστοῖς] ἐπὶ γῆς Py 223 ἐξανίστησιν] ἐξανάστησον Ea

τρίβους ἀρετῶν
καὶ γέγονας τοῦ Θεοῦ
δῶρον ἱερὸν
τῇ κλήσει κατάλληλον
πολιτείαν ἔχουσα, σεμνή,
ἀλλὰ μνημόνευε
τῶν ἐν πίστει μεμνημένων σου.

f. 141 θεοτ. * ‖ Φωτὶ τοῦ προσώπου σου
τὸν ἐν σκότει
κείμενον παθῶν
καταύγασον, τοῦ φωτὸς
πύλη νοητή,
μὴ νὺξ καταλάβῃ με
τοῦ θανάτου, δέσποινα ἁγνή,
τῆς σωτηρίας μου
τὰς ἐλπίδας περικόπτουσα.

230 σεμνήν Py 232 μνημονεύον σου (sic) Ea 23[illegible] θεοτ. MR I, 256 239 δέσποινα] ἄχραντε MR 241 περικόπτουσα] ἀν[illegible]πτουσα MR Pro hoc θεοτ. aliud praebet Py: Φοβερὸς εἶ, κύριε· / καὶ τίς [illegible] τότε ὑποστῇ / τὴν ἄστεκτόν σου φωνὴν / καὶ ὑπερφυῆ / κρίσιν ποιο[illegible]μένου σου; [illegible]ιὸ φεῖσαι, / σῶσόν με, σωτήρ, / τῆς κυησάσης σε / εὐπροσδέκτοις παρ[illegible]κλήσεσιν.

8 APRIL. *CANON* XIII

IN SANCTUM RUFINUM ⟨ET AQUILINAM⟩

Synaxarium, 592: Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου Ῥουφίνου τοῦ θαυματουργοῦ ⟨καὶ Ἀκυλίνας⟩.

Crypt. Δ.α. XVII = Ck, ff. 149ᵛ-152ᵛ

Ὁ κανών.

Ἦχος πλ. β'.

ᾠδὴ α'. *Βοηθὸς καὶ σκεπαστής*

Ἐξανέτειλεν ἡμῖν
τῶν ἀθλοφόρων Χριστοῦ ἡ μνήμη
ὥσπερ φαεινὸς
ἐξαστράπτων ἀστήρ,
φιλέορτοι, δεῦτε
φωτισθῶμεν τὰς ψυχάς,
εὐσεβῶς ἑορτάζοντες.

Τῇ ἐλπίδι τονωθεὶς
καὶ τῇ ἀγάπῃ, Ῥουφῖνε μάρτυς,
γέγονας σεπτὸν
ἐνδιαίτημα·
ἐν σοὶ γὰρ τὸ πνεῦμα
τοῦ πατρὸς καὶ τοῦ υἱοῦ
κατοικεῖν ἠρετίσατο.

Λειτουργὸς καὶ ἀθλητής,
Ῥουφῖνε μάρτυς, διπλῷ τῷ τρόπῳ

---

tit. καὶ τοῦ ἁγίου μάρτυρος ῥουφίνου καὶ τῶν σὺν αὐτῷ   ἕτερος κανὼν τοῦ μάρτυρος ... Cd. alternatis odis duos canones hoc ordine praebet: priorem: Ἀποστόλων ἁγίων τὴν παναγίαν... MR IV, 273-278, alterum quem referimus canonem

heirm. α' EE 170, n. 240, Andreae   8 τονωθεὶς] στομωθεὶς

τὰς παρὰ Θεοῦ
ἐκομίσω τιμὰς
καὶ μετὰ ἀγγέλων
κατοικεῖς ἐν οὐρανῷ,
δοξολογῶν τὸν κύριον.

θεοτ. * Τίς ἐγέννησεν υἱὸν
τὸν μὴ σπαρέντα πατρῴῳ νόμῳ;
τοῦτον ὃν γεννᾷ
ὁ πατὴρ πλὴν μητρός,
f. 150 παράδοξον θαῦ‖μα·
σὺ γὰρ ἔτεκες, ἁγνή,
Θεὸν ὁμοῦ καὶ ἄνθρωπον.

ᾠδὴ γ'. *Ἐπλατύνθη*
ἐπ' ἐχθρούς μου τὸ στόμα μου

Καρτερίᾳ
τῶν βασάνων ᾐσχύνατε
τὸν ἰοβόλον ὄφιν,
τὸν πτερνίσαντα τὴν Εὔαν ποτέ.

Τὰς ἀκάνθας
τῆς προσπαθείας ἐξέτεμες,
Ῥουφῖνε, καὶ τὸν πόθον
πρὸς τὸν κύριον ἐπτέρωσας.

Τὸν τῆς Εὔας
πολεμήτορα ἔκτεινας,
Ἀκυλῖνα, γενναίως
ταῖς βασάνοις καρτερήσασα.

θεοτ. Τὸν υἱόν σου,
θεοτόκε, ἱκέτευε
σωθῆναι τοὺς ὑμνοῦντας
τὴν ἀκατάληπτόν σου δύναμιν.

22-28 θεοτ. ER, 367   23 πατρῷον νόμων (sic)   26 θαῦμα] τέρας ER
heirm. γ' EE 169, n. 237, Germani   2 ἐπ' ἐχθρούς τὸ στόμα μου EE

31-32 Cfr. Gen. 3,1-13

1v φρενοβλαβῶς θρησκεύον‖τας ξοάνοις, σοφοί·
ὅθεν μακαρίζεσθε
εἰς αἰῶνα αἰῶνος,
θρόνῳ παριστάμενοι
τῆς ἁγίας τριάδος,
ἀλλ' ἐκτενῶς πρεσβεύσατε εὑρεῖν
λύσιν πταισμάτων ἡμᾶς, πανοαοίδιμοι.

ᾠδὴ ζ'. *Ὁ τῶν ὁσίων σου παίδων*

Ὁ ἐνισχύσας τὸν μέγαν
Ρουφῖνον ἐν βασάνοις
καὶ τὸν στέφανον ἐξ οὐρανοῦ καταπέμψας,
εὐλογητὸς εἶ, κύριε.

Ὁ μεγαλύνας ἐν κόσμῳ
τὸν ἔνδοξον Ρουφῖνον
καὶ φαιδρύνας αὐτὸν διὰ τοῦ μαρτυρίου,
εὐλογητὸς εἶ, κύριε.

Ὁ ἀνδρειώσας τῇ πίστει
κατὰ τοῦ παλαμναίου
τὴν πανεύφημον Ἀκυλῖναν βοῶ σοι,
εὐλογητὸς εἶ, κύριε.

θεοτ. Θεοτόκε παρθένε,
ἡ τὸν Θεὸν τεκοῦσα
ὑπὲρ τῶν δούλων σου δυσωποῦσα μὴ παύσῃ
σωθῆναι τὰς ψυχὰς ἡμῶν.

152 ‖ ᾠδὴ η'. *Οἱ ὅσιοί σου παῖδες ἐν τῇ καμίνῳ*

Ὁ ἔνδοξος Ρουφῖνος ἐν τῇ καμίνῳ
πυρποληθείς, ἀνεκραύγαζεν

heirm. ζ' EE 168, n. 235, Germani 99 βοῶσαν
heirm. η' EE 170, n. 239, Andreae

105-114 Cfr. Dan. 3,46-59

ὥσπερ οἱ παῖδες ἐν τῇ καμίνῳ·
« εὐλογεῖτε, ὑμνεῖτε
καὶ ὑπερυψοῦτε τὸν κύριον ».

Ὁ πάνσοφος Ρουφῖνος ἐν τῷ μολύβδῳ
κατακριθεὶς κολαφίζεσθαι,
ὥσπερ οἱ παῖδες, ἐβόα·
« εὐλογεῖτε, ὑμνεῖτε
καὶ ὑπερυψοῦτε τὸν κύριον ».

Τοῦ ξίφους καὶ βασάνων καταφρονήσας
διὰ τὸν πόθον τοῦ κτίστου σου,
ὥσπερ οἱ παῖδες, ἐβόας, μάρτυς·
« εὐλογεῖτε, ὑμνεῖτε
καὶ ὑπερυψοῦτε τὸν κύριον ».

θεοτ. * Ὃν ἔτεκες, παρθένε, ἀνερμηνεύτως
διὰ παντὸς ὡς Θεὸν ἡμῶν
μὴ διαλίπῃς δυσωποῦσα,
ἵνα κινδύνων
σώσῃ τοὺς εἰς σὲ καταφεύγοντας.

f. 152v ‖ ᾠδὴ θ'. *Ἡ τὸ « χαῖρε »*
δι' ἀγγέλου δεξαμένη

Ὁ στεφάνους
καταπέμψας οὐρανόθεν
τοῖς ἁγίοις,
Χριστὲ ὁ Θεὸς ἡμῶν,
κινδύνων ῥῦσαι
τοὺς σὲ μεγαλύνοντας.

vv. 109; 114; 119 omittuntur in cd. 120-124 θεο: [illegible] TR, 329, 565, 666 121 Θεὸν ἡμῶν] φιλάνθρωπον TR, 329 122 ἐ[illegible]ωποῦσα TR, 565, 666 124 σὲ καταφεύγοντας] σὲ πιστῶς καταφεύγοντας T[illegible]9 σὲ πάντας καταφεύγοντας TR, 565
heirm. θ' EE 168, n. 235, Germani

τὸ τῆς διανοίας μου
ἀπέλασον καὶ αὔγασον
φωτισμὸν τῇ ψυχῇ μου,
βραβεύων μοι ταῖς πρεσβείαις σου
δύναμιν ὑμνῆσαι τοὺς ἄθλους σου.

Διαβιβάσας εὐσεβῶς τὴν ἔφεσιν
πρὸς δόξαν ἄϋλον,
τῆς ὑλικῆς πάσης
δόξης κατεφρόνησας·
ἐντεῦθεν καὶ ἐκράτυνας
τὴν συνείδησιν, μάρτυς,
πρὸς μαρτυρίου τὴν ἔνστασιν
καὶ ἀθλοπρεπῶς εὐδοκίμησας.

f. 35 ‖ Ἀναλαβὼν τὸν θυρεὸν τῆς πίστεως,
ἱερομάρτυς Χριστοῦ,
τυραννικὰ θράση
καρτερῶς κατέβαλες
καὶ ἔστης πρὸς τὸ στάδιον
τῆς ἀθλήσεως χαίρων
καὶ πᾶσαν πλάνην ἠφάνισας
τῆς εἰδωλικῆς ἀθεότητος.

Ἱερουργεῖν ἱερωτέρως ἔσπευσας
ὑπὲρ τὸν πρὶν Ἀαρών,
ἱερομύστα μάρτυς·
καὶ γὰρ οὐ τὴν ἔναιμον
θυσίαν προσενήνοχας
τῷ δι' οἶκτον τυθέντι,
ἀλλὰ θυσίαν ἀναίμακτον
θύσας, τῷ Θεῷ εὐηρέστησας.

θεοτ. * Νοῦς καὶ οὐράνιος τὸ σὸν μυστήριον
τὸ ἀκατάληπτον

17 ἀναλαβὸν 33-40 θεοτ. MR III, 550

25-27 Ex. 28,1-4

κατανοεῖν ὄντως
ἀτονεῖ, πανύμνητε·
τοῦ γὰρ πατρὸς ὁ σύνθρονος
ἐν γαστρί σου σκηνώσας,
ἐκ σοῦ τεχθῆναι εὐδόκησε
φύσεσι διτταῖς γνωριζόμενος.

ᾠδὴ γ'. *Ὁ στερεώσας κατ' ἀρχὰς*

Στοιχειωθεὶς θεοπρεπῶς
τῷ τοῦ Χριστοῦ θείῳ φόβῳ
καὶ σχολάσας ταῖς αὐτοῦ ὑποθήκαις,
ἀνεδείχθης λογικῶν
ποιμὴν προβάτων, ὅσιε·
διὸ καὶ μαρτυρίου
κλέος ἀξίως ἀπείληφας.

Συνευωχεῖσθαι μυστικῶς
ταῖς ἄνω ταξιαρχίαις
καὶ τῆς θείας καὶ ἀφράστου σου δόξης
συμμεθέξασθαι ποθῶν
ὁ μάρτυς σου, Χριστέ, ὁ πιστός,
εἰδωλικῆς ἀπάτης
δόξαν καθεῖλεν ἀνόσιον.

Ἐπαληθεύουσαν τὴν σὴν
δεικνύει προσηγορίαν·
ἀντὶ πάντων γάρ, Ἀντίπα θεόφρον,
προσκτησάμενος Θεόν,
ἀντεῖπας καὶ ἀνθέστηκας
στερροπρεπῶς τυράννων
τοῖς δυσσεβέσι προστάγμασιν.

θεοτ. * Ἀπειρογάμως ἐκ πατρὸς
τὸν πρὸ αἰώνων τεχθέντα

37 τοῦ πατρὸς γὰρ MR
heirm. γ' EE 219, n. 314, Joannis 62-68 θεοτ. MR III, 551

ἐν γαστρί σου συλλαβοῦσα, παρθένε,
ἀπεγέννησας ἡμῖν
Θεὸν ὁμοῦ καὶ ἄνθρωπον
ἐν ἑκατέρᾳ φύσει
τέλειον, οὐ διαιρούμενον.

|| ᾠδὴ δ'. *Εἰσακήκοα, κύριε,*
τῆς οἰκονομίας σου τὸ μυστήριον

Μαρτυρίου πανεύφημον
δόξαν ἐπηνέγκατο ὁ σοφός σου, Χριστέ,
ἱεράρχης, ὡς καλῶς ὑπὲρ σοῦ
καὶ ψυχὴν προθύμως
καὶ τὸ σῶμα προδούς.

Ἀκλινῆ γνώμην ἔδειξας
ἐν ταῖς τοῦ δικάζοντος ἐρωτήσεσιν,
μάρτυς κράτιστε· ἐντεῦθεν πιστῶς
ἀσεβούντων γνώμας
ἐξεφαύλισας.

Ῥωμαλέῳ φρονήματι
πᾶσαν ἀντιπάλων σὺ ἐξενεύρωσας
δυναστείαν τοῦ Θεοῦ ἡμῶν,
γενναιόφρον μάρτυς
τοῦ Θεοῦ ἡμῶν.

Τῆς ψυχῆς μου τὰ τραύματα
καὶ τῆς διανοίας μου τὰ συμπτώματα
καὶ σαρκός μου τὰ νοσήματα
θεραπεύοις, μάκαρ,
ταῖς πρεσβείαις σου.

* Τῶν παθῶν μου τὸν τάραχον,
ἡ τὸν κυβερνήτην τεκοῦσα κύριον,

heirm. δ' EE 225, n. 322, Cosmae 89-93 θεοτ. ER, 461 89 Τῶν] τὸν

καὶ τὸν κλύδωνα κατεύνασον
τῶν ἐμῶν πταισμάτων,
θεονύμφευτε.

ᾠδὴ ε'. *Ἵνα τί με ἀπώσω*

Ὑποδὺς τῇ νεφέλῃ
τῆς ἀκαταλήπτου τε
καὶ θείας γνώσεως,
ἀκριβῶς κατεῖδες
τὴν ἀσύγκριτον αἴγλην τοῦ θείου φωτός,
ἐξ οὗ τὰς αἰσθήσεις
καταυγασθείς,
ἱερομάρτυς,
χρηματίζεις τοῦ Λόγου καὶ κῆρυξ σοφός.

Σωφροσύνῃ, ἀνδρείᾳ
καὶ φρονήσει, ἔνδοξε,
δικαιοσύνῃ τε
ἐπιβάς, Ἀντίπα,
θεοζεύκτῳ ὡς ἅρματι ἤλασας
ταῖς ὁδοῖς κυρίου
μαρτυρικῶς·
διὸ καὶ στέφος
ἀφθαρσίας ἀξίως ἀπείληφας.

Ἀκορέστως τῷ πόθῳ
τοῦ Χριστοῦ, ἀθλοφόρε,
κατακαιόμενος,
γεγηθὼς ἐπέβης
τῷ σφοδρῶς ἐκκαέντι χαλκίνῳ βοΐ,
θριαμβεύων πλάνης
εἰδωλικῆς
τὴν ἀθεΐαν
καὶ τοὺς ταύτῃ ἀφρόνως προσέχοντας.

heirm. ε' EE 219, n. 314, Joannis

θεοτ. * Νοερῶς ἐμυήθη
προφητῶν ὁ σύλλογος
f. 36 ‖ τὰ σὰ μυστήρια·
οὐρανοῦ γὰρ πύλην
ἐπὶ γῆς ὁ δεσπότης σὲ ἔδειξεν
καὶ ἐκ σοῦ, παρθένε,
σωματωθείς,
δικαιοσύνης
τοῖς ἐν σκότει ὡς ἥλιος ἔλαμψεν.

ᾠδὴ ς'. *Τὴν δέησιν ἐκχεῶ πρὸς κύριον*

Νηφάλιον καὶ σοφὸν τὸ φρόνημα
κεκτημένος, ἱεράρχα Ἀντίπα,
τυραννικαῖς
ἀπειλαῖς οὐκ ἐκάμφθης,
ταῖς τοῦ Χριστοῦ ἐντολαῖς δὲ πειθόμενος,
ἠρίστευσας μαρτυρικῶς
καὶ τῆς πλάνης καθεῖλες τὸν ὄλεθρον.

Τὸ τάλαντον πρὸς Χριστοῦ λαβόμενος
πολυπλάσιον ἀπέδειξας, πάτερ,
μαρτυρικῶν
ἐξ ἀγώνων καὶ πόνων·
διὸ καὶ ὤφθης, πιστὸς οἰκονόμος Θεοῦ
καὶ χάριν παρ' αὐτοῦ πολλὴν
ἰαμάτων ἀξίως ἀπείληφας.

Ἰθύνων μου κραταιῶς βελτίωσον
καὶ τὸν τρόπον καὶ τὸν βίον καὶ δός μοι
καὶ τῆς ψυχῆς
καὶ τοῦ σώματος πᾶσαν
τὴν εὐρωστίαν θεόθεν κομίσασθαι
ταῖς θείαις σου καὶ εὐκτικαῖς
μεσιτείαις, Ἀντίπα θεόσοφε.

121-129 θεοτ. MR I, 293 125 ὁ δεσπότης σε ἔδειξεν, ἄχραντε MR
129 ὡς ἥλιος ἔλαμψεν] ἀνέτειλεν ἥλιος MR
heirm. ς' EE 219, n. 314, Joannis

137 Matth. 25,15-28

θεοτ. * Ἰδόντες συμβολικαῖς ἐμφάσεσι
τοῦ φρικτοῦ σου μυστηρίου τὸ βάθος,
ὅτι Θεὸν
ἐν γαστρί σου συλλήψῃ,
οἱ θεηγόροι προφῆται ἐκήρυξαν,
πανάμωμε, καὶ νῦν ἡμεῖς
τὰς ἐκβάσεις ὁρῶντες, πιστεύομεν.

Κάθισμα.

Ἦχος γ'. *Θείας πίστεως ὁμολογίᾳ*

Θείοις ἄνθραξι
πυρὶ ἀγάπης
. . . .

ᾠδὴ ζ'. *Θεοῦ συγκατάβασιν*

f. 36v ‖ Πυρσῷ καθαιρόμενος
ἱερωσύνης,
Ἀντίπα ἔνδοξε,
καὶ πιστῶν ἐκκαθαίρων
τὰς διανοίας,
ὤφθης πατὴρ ἡμῶν
καὶ μαρτυρίου
αἴγλῃ λαμπρυνόμενος,
« εὐλογητὸς εἶ » βοῶν
« ὁ τῶν πατέρων Θεός ».

Ἀνένδοτον ἔφεσιν
πρὸς σὲ ὁ μάρτυς,
Χριστέ, κτησάμενος,
συνεπάτησε χαίρων
θυμὸν τυράννων
καὶ ἀπειλὴν τοῦ πυρός·

151-157 θεοτ. MR II, 129 153 Θεὸς MR 154 συλλήψει] σκηνώσει MR 155 ἐκήρυξαν] προήγγειλαν MR 157 πιστεύομεν] δοξάζομεν MR
κάθ. MR IV, 391
heirm. ζ' EE 219, n. 314, Joannis 168 ἀνένδ[illegible]

καὶ διὰ τοῦτο
ἐν σοὶ ἀγαλλόμενος,
« εὐλογητὸς εἶ » βοᾷ
« ὁ τῶν πατέρων Θεός ».

Σοφίας καὶ χάριτος
πεπληρωμένος,
Ἀντίπα κράτιστε,
δεισιδαίμονος πλάνης
στερρῶς καθεῖλες
πᾶσαν τὴν δύναμιν
καὶ θείαν πίστιν
Χριστοῦ ἀνεκήρυξας,
« εὐλογητὸς εἶ » βοῶν
« ὁ τῶν πατέρων Θεός ».

Τῷ φέγγει καταύγασον
τῶν σῶν θαυμάτων
τοὺς σὲ ὑμνοῦντας πιστῶς
καὶ διάλυσον πᾶσαν,
σοφὲ Ἀντίπα,
νοσοποιὸν ταραχὴν
ταῖς σαῖς πρεσβείαις
ῥωννύων τοὺς ψάλλοντας,
« εὐλογητὸς ὁ Θεός,
ὁ τῶν πατέρων ἡμῶν ».

θεοτ. * Ἀμφότερα πέφυκας
παρθένος μήτηρ,
θεογεννῆτορ ἁγνή,
ἐν γαστρὶ συλλαβοῦσα
Θεὸν ἀφράστως
ἐκ σοῦ σαρκούμενον,
ἐν ἑκατέρᾳ
μορφῇ γνωριζόμενον,
θεανδρικῶς ἐπὶ γῆς
πολιτευσάμενον.

187 Θεὸς] ἡμῶν 198-207 θεοτ. MR III, 554 207 πολιτευσάμενος

ᾠδὴ η'. *Ἑπταπλασίως κάμινον*

Ἐν ἱερεῦσι, πάνσοφε,
ἱερῶς εὐδοκίμησας
καὶ ἐν ἀθληταῖς ὑπερφυῶς ἠρίστευσας,
Ἀντίπα θεόπνευστε,
καὶ δι' ἀμφοῖν ἀπείληφας
τῆς ὁμολογίας τὸ διάδημα, ψάλλων·
« οἱ παῖδες εὐλογεῖτε,
ἱερεῖς ἀνυμνεῖτε,
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

Φρενοβλαβῆ ἐπίνοιαν
κατασχὼν ὁ δεινὸς δικαστής,
πιθανολογίαις ἐπειρᾶτο πείθειν σε,
Ἀντίπα θεόπνευστε,
θεοστυγέσι δαίμοσι
f. 37 θύειν, ἀλλ' ἡ||ττήθη τῇ στερρᾷ σου ἐνστάσει
καὶ πίστει τῇ ἐνθέῳ,
ἣν γεραίρων, ἐβόας·
« λαὸς ὑπερυψοῦτε
Χριστὸν εἰς τοὺς αἰῶνας ».

Ὡς εὐπρεπὴς ἡ θέα σου
καὶ ὁ βίος θεόληπτος
καὶ θαυμαστικὸς ὁ πρὸς ἀγῶνας ζῆλός σου,
ἡ κοίμησις ἔνδοξος
καὶ ἡ ταφὴ παράδοξος
καὶ φωτοειδὴς ἡ ἐπουράνιος λῆξις·
θεόπλοκον τὸ στέφος
καὶ θαυμάτων ἡ βρύσις
πηγάζουσα, τρισμάκαρ
Ἀντίπα, εἰς αἰῶνας.

θεοτ. * Ἱερωτέρα πέφηνας,
θεοτόκε πανύμνητε,

heirm. η' ΕΕ 219, n. 314, Joannis 215-217 vv. om. 238-247 θεοτ. MR II, 283 239 πανύμνητε] πανάμωμε MR

τῆς ὑπερκοσμίου τῶν ἀγγέλων τάξεως·
τὸν τούτων γὰρ τέτοκας
δημιουργὸν καὶ κύριον
ἐκ παρθενικῆς ἀπειρογάμου νηδύος,
ἐν δύο ταῖς οὐσίαις
ἀσυγχύτως, ἀτρέπτως,
μιᾷ δὲ ὑποστάσει
Θεὸν σεσαρκωμένον.

ᾠδὴ θ'. *Ἔφριξε*
πᾶσα ἀκοὴ

Πόθῳ με
θέλξας τῷ εἰς σέ,
ἱεράρχα μυστιπόλε, ἱκάνωσον
τὰς ἀριστείας σου
τρανῶς ἐκφράσαι
καὶ τὰ τεράστια,
ἐξ ὧν πεπείραμαι κἀγὼ
τυχὼν τῆς ἰάσεως,
ἀλλὰ πρεσβείαις σου
καὶ ψυχῆς τὴν εὐρωστίαν κομίσαιμι.

Οἷάπερ
κύβερνος σοφὸς
πηδαλίῳ θεραπείας χρησάμενος,
τοὺς ἐν πελάγει παθῶν
πρὸς ὅρμον ἄγεις
τῶν ἰαμάτων σου
καὶ καθιστάνεις ὑγιεῖς
τοὺς πίστει αἰτοῦντάς σου
τὰς ῥωστικὰς δωρεάς,
ἃς παράσχου καὶ ἡμῖν, ἀξιάγαστε.

Θαλάμῳ
ὥσπερ ἐπιβὰς

---

241 τῶν 245 ἀπρέπτως
heirm. θ' ΕΕ 222, n. 317, Joannis

οὐρανίῳ, ἀθλοφόρε θεσπέσιε,
τῷ ἀφιδρύματι
τοῦ ἐκκαέντος
χαλκοῦ βοὸς πανσθενῶς,
ἠγαλλιῶ πνευματικῶς
Θεῷ προσευχόμενος·
διὸ καὶ τέλος χρηστὸν
ἀπηνέγκω εὐκλεῶς καὶ μακάριον.

f. 37ᵛ ‖ Ὡς ἔχων
ἀξιοπρεπῶς
παρρησίαν πρὸς Θεόν, παναοίδιμε,
μὴ διαλείπῃς ἀεὶ
καθικετεύων
ὑπὲρ τῶν δούλων σου,
τῶν ἐκτελούντων σου πιστῶς
τὸ θεῖον μνημόσυνον,
ῥυσθῆναι βλάβης ἐχθρῶν
καὶ κομίσασθαι πταισμάτων τὴν ἄφεσιν.

θεοτ. Ὕστατος
ἄβυσσος κακῶν
καὶ πολλῶν ἁμαρτημάτων ἐκύκλωσε
τὴν ταπεινήν μου ψυχὴν
καὶ νῦν πειρᾶται
καταποντίζειν με,
ἀλλ' ἡ τὴν ὄντως νοητὴν
γαλήνην κυήσασα,
Θεόν, παρθένε ἁγνή,
πρὸς λιμένα σωτηρίας κυβέρνησον.

289-290 Cfr. Ion. 2,6

11 APRIL. CANON XV

IN SANCTAM TRYPHAENAM

Synaxarium, 598: Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῆς ὁσίας Τρυφαίνης τῆς ἐν Κυζίκῳ.

Reg. gr. 61 = Lo, ff. 54-54ᵛ, 71-72ᵛ

f. 54ᵛ || Ὁ κανὼν φέρων ἀκροστιχίδα·
Τοῖς σοῖς ἐπαίνοις, μάρτυς, ἐντρυφῶ πόθῳ· ⟨Ἰωσήφ⟩.

Ἦχος β'.

ᾠδὴ α'. *Δεῦτε, λαοί,*
ᾄσωμεν ᾆσμα Χριστῷ τῷ Θεῷ

Τῷ φωτισμῷ
τῆς τρισηλίου θεότητος
αὐγαζομένη πάντοτε,
μάρτυς πανεύφημε,
τοὺς τοῖς σοῖς ἐντρυφῶντας
ἐπαίνοις ταῖς εὐχαῖς σου,
Τρύφαινα, φώτισον.

Οἱ τῷ νοΐ
πρὸς τὸν Θεὸν ἐκδημήσασα
καὶ σαρκικοῦ φρονήματος
καταφρονήσασα,
ἑαυτήν, μακαρία,
πρὸς ἄθλησιν καὶ πόνους
ὅλην ἐκδέδωκας.

Acrostichis, nonnullis lapsis tropariis, sic superest: τοις ⟨σ⟩οι⟨ς⟩ επαι⟨ν⟩οις μαρτυς εντρ⟨υ⟩φω π⟨ο⟩θω ιω⟨σ⟩ηφ
Nomen Ἰωσήφ, om. cd., deducitur autem e litteris capitalibus odes θ'.
heirm. α' EE 37-38, n. 51, Cosmae   8 οἱ pro ἡ acrostichidis causa habeas.

Ἰχνηλατεῖν
πάθος Χριστοῦ τὸ μακάριον
ἐπιποθοῦσα, ἔδραμες
ἐπὶ τὸ στάδιον
καὶ τὰ ξόανα, μάρτυς,
συνέτριψας τῆς πλάνης
σθένει τοῦ πνεύματος.

θεοτ. * Σὲ προφητῶν
πάλαι ὁ θεῖος κατάλογος
πύλην Θεοῦ προήγγειλεν
καὶ ὄρος ἅγιον,
θεοτόκε παρθένε,
τῶν θείων ἀθλοφόρων
τὸ θεῖον καύχημα.

ᾠδὴ γ'. *Στερέωσον ἡμᾶς ἐν σοί, κύριε,*

⟨Σ — ´ — — — ´ — ´ — ´ — —
— ´ — — — — — — — ´ —
— — ´ — — — ´ — —
— — ´ — — ´ — — — ´ — —⟩

Ὁλόκληρον σαυτὴν θυσίαν σπεύδουσα
προσάξαι τῷ ὑπὲρ πάντων τυθέντι,
τὰς θυσίας καὶ σεβάσματα
τῶν Ἑλλήνων, πανεύφημε, συνέτριψας.

Ἰσχύς σοι ἐκ Θεοῦ καὶ κράτος δέδοται
τὴν κάραν τοῦ δράκοντος διολέσαι
καὶ ταῖς πτέρναις ταῖς ἁγίαις σου
ὑποτάξαι, θεόφρον ἀξιάγαστε.

22-28 θεοτ. MR II, 240 cfr. p. 88
heirm. γ' EE 39, n. 53, Cosmae   29-32 troparium, quod incipit Σ....., sicut acrostichis postulat, in cd. om.   33 σπεύδουσαν

24 Ez. 44,1-2   25 Dan. 2,34

⟨Σ — ´ — — — ´ — ´ — ´ — —
— ´ — — — — — — — ´ —
— — ´ — — — ´ — —
— — ´ — — — ´ — — — ´ — — —⟩

Ἐπέτασας χρυσᾶς λαβοῦσα πτέρυγας
ὡς θεία περιστερὰ καὶ νυμφῶνα
πρὸς τὸν θεῖον νῦν κατέπαυσας
τῷ νυμφίῳ σου, μάρτυς, ἀγάλλεσθαι.

θεοτ. Παράδεισος τερπνὸς ἐν μέσῳ ἔχουσα
τὸ ξύλον, παρθένε, τῆς ἀφθαρσίας,
Ἰησοῦν Χριστὸν τὸν κύριον,
ἐπεγνώσθης· διό σε μακαρίζομεν.

Κάθισμα.

Ἦχος δ'. *Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ*

Καταυγασθεῖσα τὴν ψυχὴν φρυκτωρίαις
. . . .

ᾠδὴ δ'. *Ὑμνῶ σε·*
ἀκοὴν γάρ, κύριε,
εἰσακήκοα καὶ ἐξέστην·
f. 71 || *ἕως ἐμοῦ ἥκεις γὰρ*
ζητῶν τὸν πλανηθέντα·
διὸ
τὴν πολλήν σου συγκατάβασιν
τὴν ἐμὴν δοξάζω ἐπανόρθωσιν.

Ἀνδρείαις
συμπλοκαῖς τὸν δόλιον
ἐν σταδίῳ καταβαλοῦσα,

41-44 troparium desideratur 49-52 θεοτ. cfr. p. 89
κάθ. MR II, 734
heirm. δ' EE 38, n. 51, Cosmae 4 ἥκει cd. 5 ζητῶν] ἐμὲ ζητῶν EE
8 τὴν εἰς ἐμὲ δοξάζω πολυέλεε EE

ἐδρέψω, πανεύφημε,
τὸν στέφανον τῆς ἀφθαρσίας
καὶ νῦν
τῶν μαρτύρων τοῖς στρατεύμασιν,
ὑπὲρ ἡμῶν πρεσβεύουσα, ἠρίθμησαι.

Ἰσχύϊ
τοῦ ἁγίου πνεύματος
ὑποφέρεις τὴν τιμωρίαν·
ταθεῖσαν γὰρ τύραννος
προσέταξεν ὀξέσι λίθοις,
σεμνή,
ἀφειδῶς κατακεντᾶσθαί σε,
τὴν τοῦ ἐχθροῦ τὰ κέντρα συμπατήσασαν.

⟨Ν — ´ — —
— — ´ — ´ — —
— — ´ — — — — ´ — —
— ´ — — ´ — —
— ´ — — — — — ´ — —
— ´
— — ´ — — — ´ — —
— — — ´ — ´ — — — ´ — —⟩

Ὁσίως
τὰς ὁσίας χεῖράς σου
ἐκπετάσασα πρὸς τὸ ὕψος,
τὸν φωτισμὸν εἵλκυσας
τοῦ πνεύματος ἐν τῇ ψυχῇ σου,
δι' οὗ
σκοτασμὸν τῆς πλάνης ἔλυσας
καὶ τῶν πιστῶν καρδίας κατεφώτισας.

θεοτ. Ἰλύϊ
ἐμπαρέντα, δέσποινα,
ἁμαρτίας τὸν λογισμόν μου,

68 συνπατήσασαν 69-76 troparium N incipiens desideratur

78-79 Sir. 51,19 85-86 Ps. 68,3

ἀνάγαγε, χεῖρά μοι
ἐκτείνουσα ἐν συμπαθείᾳ,
ἁγνή,
βοηθείας, ὅπως πάντοτε
ὑμνολογῶ τὴν θείαν προστασίαν σου.

ᾠδὴ ε'. *Ὁ τοῦ φωτὸς χορηγὸς*

Στᾶσα στερρῷ λογισμῷ
μέσον σταδίου, ἀνδρικῶς ἤνεγκας
πολυειδεῖς
πόνους προξενοῦντας
τὴν ἄπονον, σεμνή,
ἐκεῖθέν σοι δόξαν,
παρθένων τὸ καύχημα.

Μαρτυρικαῖς καλλοναῖς
ἠγλαϊσμένη, συνεργοὺς ἔσχηκας
θείους, σεμνή, •
ἄγγελος νυκτός σε
φωτίζων τὰς ὁδοὺς
τὰς σωτηριώδεις
ὀρθῶς βηματίζουσαν.

Ἀγαλλομένη ψυχῇ
τὸ δεσμωτήριον οἰκεῖς, ἔνδοξε,
σὲ τοῦ Χριστοῦ
τέρασιν μεγίστοις
θαρσαλεωτέραν
ἐναποδεικνύοντος,
ἐχθροὺς στηλιτεύουσαν.

θεοτ. * Ῥῦσαι ἡμᾶς πειρασμῶν
καὶ καταιγίδος λογισμῶν, ἄχραντε,
πάσης ὀργῆς,

heirm. ε' EE 38, n. 51, Cosmae 95 πολυειδῆς 102 θείου 106 βηματίζουσα 113 στηλιτεύουσα 114-120 θεοτ. ETh, 181

114 II Petr. ep. 2,9

πάσης ἁμαρτίας,
λιμοῦ τε καὶ λοιμοῦ
καὶ τῆς αἰωνίου,
παρθένε, κολάσεως.

ᾠδὴ ς'. *Ἐν ἀβύσσῳ πταισμάτων κυκλούμενος*

Τῶν ἀγγέλων οἱ δῆμοι ἐθαύμασαν
σοῦ τὰ ὑπὲρ νοῦν, ἀθλοφόρε, παλαίσματα
καὶ τὴν γενναίαν ἔνστασιν
καὶ τῆς θείας ἀγάπης τὸ ἔμπυρον.

Ὑπεβλήθης θηρσίν, πανаοίδιμε,
μένεις δὲ Χριστοῦ δυναστείᾳ ἀλώβητος,
θαυματουργίαις, Τρύφαινα,
τοὺς ἐχθροὺς τοῦ σταυροῦ καταπλήττουσα.

Σὲ θηρίων ἀγρίων ἡ ἄλογος
φύσις αἰδεσθεῖσα τιμᾷ, καλλιπάρθενε,
δούλην Χριστοῦ γνησίαν σε
διδαχθεῖσαν Θεοῦ ἐπινεύσεσιν.

θεοτ. * Ἐν ὁδῷ με τοῦ βίου πλανώμενον
καὶ ταῖς ἀνοδίαις συχνῶς περιπίπτοντα
τῆς ἁμαρτίας, δέσποινα,
μετανοίας πρὸς τρίβους ὁδήγησον.

f. 72 || ᾠδὴ ζ'. *Ῥήτορες ἀνεδείχθησαν παῖδες*

Νέκρωσιν
ζωηφόρον, θεόφρον,
ἐνδυσαμένη ἀληθῶς

118 λοιμοῦ] λιμοῦ
heirm. ς' EE 34, n. 46, Joannis 133-136 θεοτ. ETh, 181 cfr. p. 92
134 περιπίπτουσα
heirm. ζ' EE 35, n 47, Joannis

τῇ ἀπεκδύσει τοῦ σκήνους,
περιβολὴν ἐδέξω σωτήριον
καὶ ἐγύμνωσας
<— — ´ — —> ἡμᾶς
τὰς πονηρὰς ἐνέδρας.

Τῷ πόθῳ
τῆς ἀγάπης τοῦ κτίστου
πυρπολουμένη τὴν ψυχήν,
μέσον πυρὸς ἐνεβλήθης
καὶ δροσισμῷ τῆς ἄνωθεν χάριτος
ἀκατάφλεκτος
ἐτηρήθης, ὡς οἱ πρὶν
ἐν Βαβυλῶνι παῖδες.

Ῥήμασιν
τὸν Θεὸν ἐπευλόγεις
μέσον ὑπάρχουσα φλογὸς
συγκαταβάσει ἀγγέλων
καὶ ἐν αἰνέσει χαίρουσα ἔκραζες·
« ὁ ὑπέρθεος •
τῶν πατέρων καὶ ἡμῶν
Θεὸς εὐλογητὸς εἶ ».

<Υ ´ — —
— — ´ — — ´ —
— — — ´ — — — ´
— — — ´ — — ´ —
— — — ´ — ´ — — ´ — —
— — ´ — —
— — ´ — — — ´
— — — ´ — ´ —>

θεοτ. Φωτός σου,
θεοτόκε παρθένε,
καθαρωτάταις ἀστραπαῖς

143 quinque syllabae desiderantur Υ....., sicut acrostichis postulat, cd. om. 161-168 troparium prima littera 169-176 θεοτ. cfr. p. 94

150-152 Dan. 3,50

τὴν σκοτισθεῖσαν ψυχήν μου
ταῖς πονηραῖς δεινῶς παραβάσεσιν
f. 72v ‖ φωταγώγησον,
πύλη οὖσα τοῦ φωτός,
ὅπως ὑμνολογῶ σε.

ᾠδὴ η΄. *Τὸν ἐν καμίνῳ τοῦ πυρὸς*

Ὤφθης ἐν μέσῳ τῶν θηρῶν,
ὥσπερ πάλαι Δανιήλ, σεμνὴ παρθένε,
ἱερῶς ἱσταμένη
καὶ ἱεραῖς προσευχαῖς
τὰ τούτων
χαλινοῦσα στόματα
πρὸς δοξολογίαν καὶ αἶνον τοῦ σωτῆρος.

Πάθεσι θείοις τοῦ Χριστοῦ
εἰκονίζουσα καλῶς, παρθένε, πάθη
τοῦ σταδίου ἐν μέσῳ
ἀφικομένη τὸ σὸν
τῷ κάλλει
ἀπέπεμπεν πρόσωπον,
χάριτος ἐνθέου ἐν σοὶ ἐνσκηνωσάσης.

<Ο — — — ´ — — — —
— — ´ — — — — ´ — ´ — ´ —
— — — ´ — — ´ —
— — — ´ — — ´
— ´ —
— ´ — — ´ — —
— — — — ´ — — ´ — — — — ´ —>

τριαδ. Θεολογοῦντες σὺν πατρί,
τὸν υἱὸν καὶ τὸ σεπτὸν ὑμνοῦμεν πνεῦμα,
ἐν τρισὶ χαρακτῆρσιν

heirm. η΄ EE 35, n. 47, Joannis 191-197 troparium littera O incipiens desideratur

177-178 Dan. 6,18-19

μίαν οὐσίαν ἁπλῆν,
βοῶντες·
« ὑμνεῖτε τὸν κύριον
καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας ».

θεοτ. Ὢ μυστηρίου φοβεροῦ·
ὢ ἀκούσματος φρικτοῦ· πῶς ἡ παρθένος
ἀπορρήτῳ ἑνώσει
ὁμοιωθέντα ἡμῖν
τὸν Λόγον
τίκτει διαμένουσα,
ὥσπερ πρὸ τοῦ τόκου, ἁγνὴ εἰς τοὺς αἰῶνας;

ᾠδὴ θ'. *Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον*

Ἰσχυροτάτων σου πόνων
ταῖς νευραῖς, ἀθλοφόρε,
ἀπέπνιξας ἐχθρὸν τὸν νοητὸν
καὶ τὰ ἐκείνου στρατεύματα·
καὶ στεφθεῖσα ταῖς νίκαις,
ὡς θεία καὶ καλὴ περιστερά,
πρὸς τὸν ἄνω νυμφῶνα
ἀγαλλομένη ἔφθασας.

Ὡς τοῦ κυρίου ἀμνάδα,
ὥσπερ δάμαλιν θείαν
ἐχθροῦ καὶ ῥαντισμοῦ δολερῶς
ἀνατομαῖς ἐθανάτωσαν,
παμμεγέθους, παρθένε,
ἀπολυθέντος ταύρου κατὰ σοῦ·
ὅθεν αἵμασι θείοις
πᾶσαν τὴν γῆν ἡγίασας.

⟨Σ — — — ´ — — ´ —
— — ´ — — ´ —
— ´ — — — ´ — — — ´
— — — ´ — — — ´ — — — — ´
— — — ´ — — ´ — — — — ´
— — — ´ — — ´ —
— — — — ´ — — ´ — —⟩

Ἡ παναγία σου μνήμη
ἁπλουμένη ἐν κόσμῳ,
ἡλίου τηλαυγέστερον ἡμῶν
θεοτ. φωταγωγεῖ τὰ νοήματα
καὶ προτρέπεται πάντας
τοῖς σοῖς κατατρυφᾶν χαρμονικῶς
καθ' ἑκάστην ἐπαίνοις,
παρθενομάρτυς Τρύφαινα.

Φωτιστικήν σε λυχνίαν
προεώρα προφήτης,
ἐν μέσῳ τὸ λαμπάδιον Χριστοῦ,
θεοχαρίτωτε, ἔχουσα,
τὸ φωτίζον τὸν κόσμον
φωτὶ τῆς ἐπιγνώσεως αὐτοῦ·
διὰ τοῦτό σε πίστει
καὶ πόθῳ μακαρίζομεν.

205-211 id. θεοτ. in p. 95 invenies heirm. θ' ΕΕ 34-35, n. 46, Joannis 224 πανμεγέθους 225 ταύρου] σταυροῦ 227 ἡγίασεν 228-235 troparium Σ incipiens desideratur

240 πρὸ τρέπεται

244-246 Zach. 4,2

IN SS. DEMEN ET PROTIONEM

Synaxarium [1]: Οὗτοι οἱ ἅγιοι ὑπῆρχον ἐπὶ τῆς βασιλείας Μαξιμιανοῦ καὶ παραστάντες αὐτόκλητοι τῷ ἡγεμόνι τῆς αὐτῶν χώρας παρρησίᾳ Χριστὸν Θεὸν ὡμολόγησαν ἐνώπιον αὐτοῦ· ὁ δὲ γυμνώσας αὐτοὺς καὶ δεσμεύσας ἁλύσεσιν ἐπὶ γῆς κατέρραξε καὶ βοΐνων λώρων καὶ ἀκανθώδεσι ῥάβδοις τὰς σάρκας αὐτῶν ἐπὶ γῆς κατέρραξεν, ὥστε φαίνεσθαι τὴν ἔνδοθεν οἰκονομίαν τῶν σπλάγχνων αὐτῶν· καὶ στείλας αὐτοὺς μετὰ κραββάτου εἰς ζοφώδη φυλακήν, — ἐν τριάκοντα ἡμέραις ἄσιτοι τὸ παράπαν διατελέσαντες — ἐκέλευσεν ὁ ἡγεμὼν μηδὲ ὕδατος αὐτοῖς δοθῆναι· ἀγγέλου δὲ ἐπιστασίᾳ ἰάθησαν ἀπὸ τῶν πληγῶν αὐτῶν καὶ τροφῆς αὐτοῖς παραδοθείσης εὐφράνθησαν καὶ ἐκορέσθησαν τροφῶν οὐρανίων, κατὰ τὸν λέγοντα « ἄρτον ἀγγέλων ἔφαγεν ἄνθρωπος ». Καὶ τὸ πρωὶ καθήσας ὁ ἡγεμὼν ἐκέλευσεν, μετὰ τὴν συμπλήρωσιν τοῦ μηνός, ἀχθῆναι τοὺς ἁγίους ἔμπροσθεν αὐτοῦ· καὶ ἔστησαν ὑγιεῖς ὡς μηδὲ λώβην ἔχοντες ἐν τῷ σώματι αὐτῶν· καὶ ἰδόντα τὰ πλήθη τῶν ἀσεβῶν αὐτοὺς προσέπεσον τοῖς ποσὶν αὐτῶν καὶ ἐβόησαν « χριστιανοί ἐσμεν »· οὓς παραυτίκα ὁ ἡγεμὼν ἐκέλευσεν ἀποκεφαλισθῆναι καὶ οὕτως ἐτελειώθη αὐτῶν ἡ μαρτυρία· τοὺς δὲ ἁγίους ἐκέλευσε δεθῆναι ἔμπροσθεν αὐτοῦ τούτους, λέγων « γοητείαις χρᾶσθε οἱ Ναζωραίου τὸ ὄνομα περιφέροντες καὶ ἐν τούτῳ τὴν ἴασιν ἐλάβετε »· οἱ δὲ ἀντέφησαν « ἡμεῖς μαγείας οὐ χρώμεθα, ἀλλ' ὁ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι ἡμᾶς παραγαγὼν Χριστὸς ὁ Θεὸς ἡμῶν, ὃν σεβόμεθα, ἐκεῖνος καὶ τὴν ἴασιν ἡμῖν ἐχαρίσατο, ὁ κελεύων, « ὁ πιστεύων εἰς αὐτόν, κἂν ἀποθάνῃ ζήσεται καὶ περιπατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων ». Ὁ δὲ ἅψας πυρὰν λαβροτάτην, μέσον τοὺς ἁγίους ἐνέβαλε, τὸ δὲ πῦρ οὐδόλως αὐτοὺς ἥψατο, ἀλλ' ὑπεχώρησεν ἐξ αὐτῶν ὡς ὕδωρ· καὶ θαυμάσαντες οἱ παρεστῶτες..... (mutilus).

Crypt. Δ.α. XVII	= Ck,	ff. 160v-164
Crypt. Δ.α. VIII	= Do,	ff. 40v-43
Vat. gr. 2008	= Vm,	ff. 143v-144v
Mess. gr. 121	= Mh,	ff. 95v-97v
Vallic. gr. E 54	= Ea,	ff. 192-193v
Reg. gr. 61	= Lo,	ff. 73-73v
Paris. gr. 1564	= Py,	ff. 27v-29v
Paris. gr. 1618	= Re,	ff. 33-34v
Paris. gr. 341	= Pq,	pp. 284-288

(1) Synax. CP, 600: tantum commemorationem profert: Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων Δήμη καὶ Πρωτίωνος; hoc synax. in ed. Lauriota I.70 ad diem 19 Martii ponitur et ab Eustr., Ἁγιολόγιον, pp. 108-109, refertur

Ὁ κανὼν φέρων ἀκροστιχίδα·
Σεπτοὺς ἀνυμνῶ θαυματουργοὺς προφρ[...]ως· Ἰωσήφ.

Ἦχος πλ. δ'.

ᾠδὴ α'. *Ἆισμα*
ἀναπέμψωμεν, λαοί,

Σῶτερ,
ἡ πηγὴ τῶν ἀγαθῶν,
ὁ θησαυρὸς τῆς γνώσεως,
Λόγος ὁ ζῶν τοῦ πατρός,
κατάπεμψόν μοι λόγον
ἐξ ὕψους ἁγίου σου,
ὅπως τοὺς σοὺς ἁγίους
εὐφημήσω
θείαις μελῳδίαις.

Ἔχων
πρὸς Θεὸν διηνεκῶς
τὸ ὄμμα τῆς καρδίας σου,
Δημή, Χριστοῦ ἐραστά,
ἐμίσησας τὴν σάρκα
ὡς φθείρεσθαι μέλλουσαν
καὶ τὰ πρὸς ἀφθαρσίαν
ὁδηγοῦντα
σαφῶς διεπράξω.

Πίστιν
καὶ ἐλπίδα ἀρραγῆ,
ἀγάπην καὶ πραότητα
f. 161 || καὶ τὴν συμπάθειαν
σαφῶς ἐστολισμένος,

heirm. η' EE 219, n. 314, Joannis 138 παροργίζων Ck Sc 145 ἐκπλύνουσά με Py 152 ἐκφυγοῦσα Ck 154 ἀνυμνεῖτε Sc 159 ἀποδώσων Py Sc ὧν] ὃν Ck Sc

157-162 Matth. 25,31-33

προστάτην σε εὕροιμι
τῶν ἀναγκῶν ῥυόμενον
καὶ τοῖς δεξιοῖς με ἀριθμοῦντα προβάτοις,
ἀπόστολε κυρίου,
ὁ προστρέχων τῇ σκέπῃ
τῇ σῇ ἐν πεποιθήσει
καὶ πόθῳ σε γεραίρων.

θεοτ. Ὑπεραγία δέσποινα,
ὑπεράγιον τέξασα
κύριον τῆς δόξης, ἐκτενῶς ἱκέτευε
κατακυριεύοντος
καὶ ἀναιδῶς πειράζοντος
πλάνου καὶ ἐχθροῦ πάντας ἡμᾶς λυτρωθῆναι,
τοὺς πίστει μελῳδοῦντας·
« ἱερεῖς ἀνυμνεῖτε,
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

ᾠδὴ θ'. *Ἐξέστη ἐπὶ τούτῳ ὁ οὐρανὸς*

Ἰσχύϊ νευρωθεῖσά σου ἡ ψυχὴ
τοῦ ἁγίου, μακάριε, πνεύματος,
πᾶσαν ἰσχὺν
ὤλεσεν ἀνίσχυρον τοῦ ἐχθροῦ,
οὗ τῆς κακίας ῥῦσαί με
πάντοτε φυλάττων με ἀβλαβῆ
καὶ πρόθυμον πρὸς πᾶσαν
ἁγίαν ἐργασίαν
ἀποτελῶν τῇ μεσιτείᾳ σου.

Ὦ Μᾶρκε, ἀποστόλων ἡ καλλονή,
ἀρετῶν καλλοναῖς με καλλώπισον
καὶ ταῖς ἐν σοὶ

160 σοι Ck   161 ῥυόμενος Ck   166 γεραίρειν Ck   174 ἀνυμνεῖτε] εὐλογεῖτε Py   176 εἰς πάντας | αὐτὸν εἰς Py
heirm. θ' ΕΕ 220, n. 314, Joannis   182 πάντων ἐφυλάττων (sic) Py

θείαις ὡραιότησι τὴν ἐμὴν
καρδίαν καθωράϊσον,
f. 226 ὅπως μετὰ πάν‖των τῶν ἐκλεκτῶν
Θεῷ εὐαρεστήσας
τῆς ἄνω βασιλείας
ἀξιωθῶ πίστει γεραίρων σε.

Συνόμιλος ἀγγέλων ἀποφανθείς,
ἀποστόλων ἐδείχθης συγκάθεδρος,
περιλαβὼν
τῷ εὐαγγελίῳ πᾶσαν τὴν γῆν
ὡς ἀετὸς ὑπόπτερος·
ὅθεν δυσωπῶ σε, Μᾶρκε σοφέ,
βαρούμενον τὸν νοῦν μου
πολλαῖς φιληδονίαις,
τῆς ἀπαθείας πτεροῖς κούφισον.

Ἡ δίκη ἐπὶ θύραις ἡ φοβερά·
ταπεινή μου ψυχὴ διανάστηθι,
ἔργα φωτὸς
πράττουσα καὶ βόησον τῷ Χριστῷ
ταῖς ἱεραῖς δεήσεσιν
Μάρκου τοῦ σοφοῦ εὐαγγελιστοῦ·
« οἰκτίρησόν με, σῶσον
καὶ τῆς αἰωνιζούσης
λύτρωσαι τότε κατακρίσεως.

θεοτ. Φιλίας με δολίας καὶ βλαβερᾶς
τῆς πρὸς σάρκα, παρθένε, διάζευξον,
ὅπως, Θεῷ
πάντοτε τὰ φίλα ἐπιτελῶν,
πᾶσαν κακίαν φύγοιμι
πάσης τε κακίας ἐκμακρυνθῶ,
ὑμνῶν σου ἀενάως
τὴν θείαν προστασίαν,
δι' ἧς πιστοὶ πάντες σωζόμεθα.

194 γεραίρω Ck   204-212 troparium om. Sc   210 με] καὶ Py
214 διάζευξον | διάρρηξον Py   218 πάσης ἁμαρτίας τε μακρυνθῶ Sc
219 ὑμνῶ Ck

26 APRIL. CANON XXX

IN SANCTUM BASILEUM EPISCOPUM AMASEAE

Synaxarium, 629-632: Ὁ ἔνδοξος τοῦ Χριστοῦ μάρτυς Βασιλεὺς ἦν ἐπίσκοπος τῆς ἐν Ἀμασείᾳ μητροπόλεως κατὰ τοὺς χρόνους Λικινίου.... Γλαφύρα τὸν βίον ἔφθη λιποῦσα· ὁ δὲ μακάριος ἐπίσκοπος Βασιλεὺς ἐν Νικομηδείᾳ πρὸς τὸν τύραννον ἤχθη καὶ τὴν διὰ ξίφους ἀπόφασιν δέχεται, ἀντειπὼν αὐτῷ καὶ ἱκανῶς τῆς ταλαιπωρίας τῶν νομιζομένων θεῶν καὶ τῆς αὐτοῦ ματαιότητος καταπτύσας. Τέμνεται οὖν τὸν αὐχένα καὶ ἐν πλοίῳ βληθεὶς καθ' ἑκάτερον μέρος τῆς νηὸς ἥ τε κεφαλὴ καὶ τὸ σῶμα τῇ θαλάσσῃ ἐκδίδοται· ἃ συνῆλθε κατὰ τὴν φυσικὴν ἁρμονίαν. Καὶ εὑρέθη ὕστερον σῶος ὁ ἅγιος ἐν τῷ κατὰ Σινώπην κόλπῳ ἁλιέων τινῶν σαγήνην καθιέντων καὶ πρὸς τὴν χέρσον ἑλκυσάντων αὐτόν, καθὼς ἐπιστὰς ἄγγελος Ἐλπιδοφόρῳ τῷ πρώτως ὑποδεξαμένῳ ἐν Νικομηδείᾳ τὸν ἅγιον εἶπεν. Ὃς παραγενόμενος ἅμα Θεοτίμῳ καὶ Παρθενίῳ τοῖς διακόνοις, οἱ ἐξ Ἀμασείας τῷ ἁγίῳ συμπαρεγένοντο, ἐξελκυσθέντα αὐτὸν ὑπὸ τῆς σαγήνης λαβόντες καὶ μύροις καὶ ᾠδαῖς τιμήσαντες τῇ Ἀμασείᾳ παρέπεμψαν. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ.

Crypt. Δ.α. XVII = Ck, ff. 226v-228v
Crypt. Δ.α. VIII = Do, ff. 93-95v
Paris. gr. 1575 = Pv, ff. 60-60v
Vat. gr. 2008 = Vm, ff. 166-167

Ὁ κανὼν φέρων ἀκροστιχίδα·
Ὕμνοις γεραίρω τὸν σοφὸν Βασιλέα· ⟨Θεοφάνους⟩.

Ἦχος δ'.

ᾠδὴ α'. *Ἀνοίξω τὸ στόμα μου*

Ὑμνῆσαι, ἀοίδιμε,
προαιρουμένῳ σοφίας μοι
παράσχου καὶ γνώσεως
λόγον πρεσβείαις σου
θείους ἀγῶνας
τοὺς σούς, ἱερομάρτυς,

Tit. Ὁ κανὼν Pv In margine nomen Θεοφάνους legitur in Ck Vm
heirm. α' EE 99, n. 141, Joannis 1 Ὑμνῆσαι] ὑμνεῖν σε Ck Pv

Χριστοῦ δι' ἀγάπησιν,
οὓς ἐπεδείξω στερρῶς.

Μύρῳ τῷ τῆς χάριτος
ἀρχιερεὺς ἀναδέδειξαι
χρισθείς, ἱερώτατε,
Χριστοῦ, ἐπάξιον
σαυτὸν ὡς θῦμα
διὰ τοῦ μαρτυρίου
ἁγνόν, ἀναιμάκτους τε
θυσίας προσαγαγών.

Νίκης ἐγκοσμούμενος
τῇ ἁλουργίδι τῶν ἄθλων σου,
αἱμάτων στεφάνῳ τε
καλλωπιζόμενος,
βασιλεὺς παθῶν
ἐδείχθης, ἱεράρχα,
πορθήσας τὴν πλάνην δὲ
συμβασιλεύεις Χριστῷ.

θεοτ. Ὁ πλάσας τὸν ἄνθρωπον
τὸ πρὶν ἐκ γῆς ἐν τῇ μήτρᾳ σου
σαρκοῦται καὶ ἄνθρωπος
τέλειος γίγνεται·
ὅθεν ἐν δύο
f. 227 οὐ||σίαις, θεοτόκε
πανάμωμε, τέλειον
τοῦτον γινώσκομεν.

ᾠδὴ γ'. *Οὐκ ἐν σοφίᾳ*
καὶ δυνάμει καὶ πλούτῳ καυχ[illegible]θα

Ἱερεῖον σὺ
τῷ Χριστῷ σεαυτὸν προσενήνοχας,

10 ἀρχιερεῦ Vm 12 Χριστῷ Do Pv Vm ἐπάξιος [illegible] 15 ἀναίμακτόν τε Pv 16 θυσίαν Pv 26 τὸν Pv 31 τέλειον γινώσ[illegible]εν Pv 32 γινώσκομεν] πανάμωμε Pv
heirm. γ' EE 96, n. 136, Joannis 33 σοι Ck [illegible] σαυτῷ Ck

25-26 Gen. 2,7

οἷα ἄμωμον πυρὶ
τῆς σῆς, σοφέ, συνειδήσεως
διὰ τῆς ἀθλήσεως
ὁλοκαυτούμενον.

Σοφίᾳ λόγων
τῇ γλαφυρᾷ Χριστὸς ἐβεβαίωσεν
ἐπὶ πέτραν ἀκλινῶς
τῆς πίστεως βεβηκέναι σε,
Βασιλεῦ ἀοίδιμε,
οἷα ποιμὴν ἀληθής.

θεοτ. Γένος βρότειον
τῇ σῇ γεννήσει, πάναγνε, λέλυται
τῆς ἀρχαίας ἀληθῶς
κατάρας· ὅθεν τῆς θείας σου
μορφῆς τὴν ἐμφέρειαν
τιμῶμεν, δέσποινα.

ᾠδὴ δ'. *Τὴν ἀνεξιχνίαστον*

Ἐπὶ ζωοπαρόχους
θείας πηγάς,
πάτερ, ἐπὶ πόαν τε πίστεως
τῇ βακτηρίᾳ
τῶν δογμάτων σου, σοφέ,
τὴν τοῦ Χριστοῦ ὡδήγησας
ποίμνην, Βασιλεῦ παμμακάριστε.

Ῥήμασι θεοφθόγγοις,
μάρτυς Χριστοῦ,
τὴν τοῦ παρανόμου διήλεγξας
καὶ δυσωνύμου

36 τῆς συνειδήσεώς σου βασιλεῦ Pv 38 ὁλοκαυτούμενος Pv 39 Σοφίας λόγῳ Ck Pv 40 τὴν γλαφυρὰν πάτερ Pv 43 Βασιλεὺς ὁ πάνσοφος Pv 44 ἀληθῆ Ck 45 βρότειον] ἀνθρώπων Do Vm

heirm. δ' EE 100, n. 141, Joannis 58 θεοφθόγγοις] θεοσόφοις Pv

47-48 Gen. 3,16-19

Λικινίου εὐθαρσῶς
θεοστυγῆ παράνοιαν,
νίκης τε βραβείοις κατέστεψαι.

Ἀρραγὲς θεμέλιον
πήξας, σοφέ,
σὺ ἐπὶ τὴν πέτραν τῆς πίστεως,
τὰς τρικυμίας,
ἱερομάρτυς, ἀτρέμας
πλάνην εἰδώλων ἤνεγκας,
ταύτην διαλύων δυνάμει Χριστοῦ.

θεοτ. Ἴασω τὸ σύντριμμα,
μῆτερ Χριστοῦ,
φύσεως βροτείας, τὸν ἄναρχον
Λόγον ἐν δύο
τετοκυῖα οὐσίαις,
οὐ σχετικῶς, πανάμωμε,
τῆς σαρκὸς τιμῶ τὴν ἐμφέρειαν.

ᾠδὴ ε'. *Ἐξέστη τὰ σύμπαντα*

Ῥωννύμενος, ἔνδοξε,
πρὸς τοῦ Χριστοῦ διήλεγξας
πλάνην τῶν εἰδώλων, ἱεράρχα,
τὸν ἀρχηγόν τε
ταύτης στρουθίον οἰκτρὸν
οἷάπερ ἐμπέπαιχας στερρῶς,
μάρτυς, τὸν τῆς πίστεως
δρόμον ἀνύσας, σοφέ.

Ὡς ἄλλος τὴν θάλασσαν
Μωσῆς τῆς ἀπιστίας σοφῶς

62 εὐθάρσως Do 64 κατέστεψε Ck 65-71 troparium om. Pv 65 ἀρραγῆ edd 69 παμμακάριστε ποιμήν Do Vm 70 πλάνης Do 73 μήτηρ Ck Χριστοῦ] Θεοῦ Do Pv Vm 75 δυσὶν οὐσίαι Pv 76 οὐσίαις] τὸν Χριστὸν Pv 78 τιμῶ τὴν] τιμῶμεν Pv

heirm. ε' EE 100, n. 141, Joannis 84 ἐμπέπαχας Do 87 τὴν] τίς Pv 88 ἀπιστίας σοφῶς] ἀσεβείας σαφῶς Pv

87-89 Ex. 14,21-22

πίστεως τῇ ῥάβδῳ διαρρήξας,
f. 227v νέον, παμμά||καρ,
Ἰσραήλ, ὦ Βασιλεῦ,
τῆς ἐπαγγελίας εἰς τὴν γῆν
οἷάπερ διήγαγες
θεογνωσίας πρὸς φῶς.

θεοτ. Τὴν θείαν ἐμφέρειαν
μορφῆς σου, θεοτόκε ἁγνή,
πάντες σχετικῇ ἐν προτιμήσει
ἔχοντες, στῖφος
αἱρετιζόντων ἀεὶ
λογικῶς διώκομεν, οἱ σὲ
πλουτοῦντες οἰκέται σου
ἀρωγόν, ὦ πανάμωμε.

ᾠδὴ ς'. *Ἐβόησε*
προτυπῶν τὴν ταφὴν τὴν τριήμερον

Οὐκ ἔφερεν
ὁ δεινὸς καὶ παράνομος τύραννος
τὴν ἐν λόγοις
παρρησίαν σου, μάρτυς, διάβολος·
τὸν δεινὸν ὁπλίζει
κατὰ σοῦ δὲ Λικίνιον, ἔνδοξε.

Νομίσας σου
τὸ στερρόν τε καὶ εὔτολμον, ἅγιε,
ἐκμαλάττειν
ταῖς θωπείαις ὁ κάκιστος τύραννος,
τῆς ἐλπίδος, μάρτυς,
διεψεύσθη ποσί σου πατούμενος.

91 τὸν Ἰσραὴλ βασιλεῦ Pv 97 προτιμήσει] προσκυνήσει Pv 98 ἔχοντες] σέβοντες Do Vm 100 διώκομεν] τρεπόμεθα Pv 101 οἰκέται σου] οἰκέταις σου Ck 102 ὦ πανάμωμε] παμμακάριστε Pv

heirm. ς' EE 125, n. 172, sine auctoris nomine 109 σου om. Ck 110 ἅγιε] ἔνδοξε Pv 114 πατούμενος] συντριβόμενος Pv

θεοτ. Σοῦ τῷ τόκῳ
τῶν ὠδίνων ἡ Εὔα λελύτρωται,
θεοτόκε·
λυτρωτὴν γὰρ τοῦ γένους ἐγέννησας
τοῦ βροτείου, μόνη
ἐγκαλλώπισμα πάναγνε δέσποινα.

Κάθισμα.

Ἦχος γ'. *Θείας πίστεως ὁμολογίᾳ*

Θείῳ πνεύματι πεφωτισμένος,
θράσος τύραννον ἐν παρρησίᾳ
....

ᾠδὴ ζ'. *Ὁ διασώσας ἐν πυρὶ*

Ὁ ὑπερήφανος ἐχθρὸς
καὶ ὡς νοσσιὰν μεγαλαυχῶν
τοῦ καταλήψεσθαι τὴν γῆν,
τῇ ἐνστάσει σου ἥττηται κράτιστα
καὶ σαφῶς καταπέπτωκεν
ὑπὸ πόδας ἱερούς σου, ἱερομάρτυς.

Φωτὶ τῆς πίστεως σαφῶς
τὴν εἰδωλικὴν ἀβλεψίαν
σὺ ἐξεμείωσας, σοφέ,
τῷ Χριστῷ ἐν αἰνέσει, μακάριε,
μελῳδῶν ὡς οἱ παῖδες τὸ πρίν·
« ὁ Θεὸς ὁ τῶν πατέρων εὐλογητὸς εἶ ».

118 γεγένηκας Pv 120 ἐγκαλλώπισμα] ἀπειρόγαμε Do Vm

κάθ. MR III, 412. Aliud κάθ. praebet Do: ἦχος δ' *Ταχὺ προκατάλαβε* Τῷ ξίφει ὑπέκλινας / τὴν ἱερὰν κεφαλήν· / τὴν γῆν καθηγίασας / τῇ τῶν αἱμάτων σου ῥοῇ, / Βασιλεῦ ἱερώτατε· / μέσον δὲ ὡς προέφης / τῆς θαλάσσης σκηνώσας, / δέδοσαι τοῖς ποθοῦσιν / ἀναφαίρετος ὄλβος, / πρεσβεύων ὑπὲρ πάντων ἡμῶν / τῶν ἀνυμνούντων σε.

heirm. ζ' EE 101, n. 142, Cosmae 121-126 Troparium om. Pv 122 καὶ] ὁ Do Vm 124 κράτισται (sic) Ck

115-116 Gen. 3,16 132 Dan. 3,52

Οὔτε θωπείαις τὸ στερρόν,
οὔτε ἀπειλαῖς, ἱεράρχα,
ταῖς πρὸς τυράννου, Βασιλεῦ,
ἐχαυνώθης οὐδόλως, ἀοίδιμε,
τὴν ψυχήν, ἀλλ' ἀνάλγητος
οἷα ἄκμων ταῖς βασάνοις ἐνεκαρτέρεις.

θεοτ. || Νόμους κυήσεως, ἁγνή,
τὸν δημιουργὸν ὑπερέβης
σαρκὶ κυήσασα σαφῶς
πάσης κτίσεως· ὅθεν κυρίως σε
θεοτόκον, πανύμνητε,
οἱ πιστοὶ πανευσεβῶς ἀνυμνολογοῦμεν.

ᾠδὴ η'. *Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ*

Βέλεσι σοφίας, ἱεράρχα,
βαλὼν καιρίως τὴν πλάνην, πανόλβιε,
βραβείοις κατέστεψαι
νίκης, ὡς ὑπέρμαχον
πανευκλεῆ τῆς πίστεως
Χριστὸν κτησάμενος·
« τὸν κύριον ὑμνεῖτε » βοῶντα
« καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας ».

Αὐχένα τῆς πλάνης, ἱεράρχα,
τῷ ξίφει τῆς πίστεως διέκοψας,
τμηθεὶς τὴν ἀοίδιμον
κάραν σου, μακάριε,
καὶ πρὸς Χριστοῦ τὸν στέφανον

135 τῆς τῶν τυράννων Pv 137 τῆς ψυχῆς Pv 138 ταῖς βασάνοις] πειρασμοῖς Pv 140 ὑπερέβης] συλλαβοῦσα Do 141 κυήσασα] ἐκαίνισας Do 144 ἀνυμνολογοῦμεν] νῦν ὁμολογοῦμεν Do Vm σὲ ὁμολογοῦμεν Pv
heirm. η' EE 100, n. 141, Joannis 145 Βέλεσι] Μέλεσι Ck 146 καιρίους Pv πανόλβιε] ἔνδοξε Do Vm 151 βοῶντα] κράζων Do κραυγάζων Pv 157 μακάριε] ἀοίδιμε Pv

138 Job 41,16 151-153 Dan. 3,57

τῆς νίκης εἴληφας·
« τὸν κύριον ὑμνεῖτε » βοῶντα
« καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας ».

Συνήφθη τῷ σώματί σου, μάκαρ,
ἡ κάρα μετ' ἐκτομήν, ὃ καὶ παράδοξον,
ἄπειρον τὸ πέλαγος,
σοφέ, διαπλεύσασα
τῇ κυβερνήσει, ἅγιε,
τοῦ θείου πνεύματος·
καὶ νῦν μετὰ ἀγγέλων χορεύων
σὺν πατρὶ δοξάζεις
υἱὸν καὶ θεῖον πνεῦμα.

θεοτ. Ἰὸν τὸν τοῦ ὄφεως, παρθένε,
τῆς Εὔας ἐξετινάξω ἐν τῷ τόκῳ σου,
Λόγον ὡς γεννήσασα
σαρκὶ καθ' ὑπόστασιν
ἐν τῇ νηδύϊ, πάναγνε,
σοῦ ἑνωθέντα φρικτῶς,
πατρὶ τὸν ἐνυπόστατον ὄντα,
οὗπερ τῆς σαρκός τε
ἐμφέρειαν τιμῶμεν.

ᾠδὴ θ'. *Εὔα μὲν τῷ τῆς παρακοῆς*

Λιμένι σαφῶς προσορμισθείς,
πανένδοξε, τρικυμίας
τὸ κλυδώνιον

160 βοῶντα] τὰ ἔργα Do Pv Vm 164 ὃ καὶ παράδ[illegible]] ὢ παράδοξον Pv 165 τὸ ἄπειρον πέλαγος Pv 166 σοφέ] σαφῶς Pv [illegible] ἅγιε] ἔνδοξε Pv 169 σὺν τοῖς ἀγγέλοις Pv 170 οἱ παῖδες εὐλογεῖτε [illegible] 173 ἐξετίναξας τῷ τόκῳ σου Pv 174 τὸν λόγον γεννήσασα Pv [illegible] συνυπόστατον Pv 179 ὃν ὑπερυψοῦμεν Pv 180 τὸν τύπον προσκυνοῦμεν Do [illegible]
heirm. θ' EE 98, n. 139, Joannis

160-162 Dan. 3,57 172-173 Gen. 3,1-7

εἰδωλικῆς διαπεράσας
τῇ θείᾳ κυβερνήσει τοῦ πνεύματος,
ταῖς ἄνω συγχορεύων δυνάμεσι,
μνήσθητι, μάκαρ, τῶν τιμώντων σε.

Ἐνθέως χορεύων, Βασιλεῦ
ἀοίδιμε, σὺν ἀγγέλοις
ἐπινίκια
περὶ τὸν θρόνον τοῦ τῶν πάντων
Θεοῦ τε καὶ δεσπότου γηθόμενος,
ἱλέως ἐποπτεύοις ἡμᾶς ὡς ποιμὴν
καὶ ἱεράρχης, τοὺς ὑμνοῦντάς σε.

εοτ. Ἀσπόρως τὸν ἄναρχον υἱὸν
γεννήσασα Θεὸν Λόγον,
. 228ᵛ || μητροπάρθενε,
πᾶσαν ἐκαίνισας τὴν φύσιν
ἡμῶν παλαιωθεῖσαν τοῖς πταίσμασιν
τῆς παραβάσεως· ὅθεν σε, δέσποινα,
ἀκαταπαύστως μεγαλύνομεν.

•

184 διαπετάσας Do Pv 191 τοῦ τῶν] τοῦτον Do 193 ἴλεος Pv Vm ἤλεως Do 199 τῷ πταίσματι Do Vm 200 τῆς πάλαι παραβάσεως ὅθεν σε Pv σε om. Do 201 πάντες σε πίστει μεγαλύνομεν Do δέσποινα πάντες μεγαλύνομεν Pv

200 Rom. 5,14

IN SANCTUM BASILEUM EPISCOPUM AMASEAE

Patm. gr. 901 = Hg, ff. 130-134
Paris. Coislin gr. 309 = H, ff. 212-214ᵛ
Reg. gr. 32 = Lp, ff. 44-44ᵛ

Ὁ κανών· ⟨Γερμανοῦ⟩.

Ἦχος γ΄.

ᾠδὴ α΄. *Τῷ ῥυσαμένῳ τὸν Ἰσραὴλ ἐκ δουλείας*

Τῷ στερεώματι τῆς τοῦ Χριστοῦ ἐκκλησίας
ὡς ἑωσφόρον λάμψαντα τῇ οἰκουμένῃ
ἀνέδειξεν ἡ τοῦ πνεύματος χάρις
τὸν ἱεράρχην καὶ μάρτυρα τοῦ Λόγου.

f. 130ᵛ || Ἀγγελομίμητον ἀναλαβὼν πολιτείαν,
Βασιλεῦ θεόσοφε, πρὸ τῶν ἀγώνων,
ἐν σώματι τὸν ἀσώματον ἐχθρὸν
πρὸς συμπλοκῆς κατεπάλαισας, θεόφρον.

Τὴν διπλοΐδα τῆς ἱερᾶς σου ἀξίας
βάψας ἐν τῷ αἵματι τοῦ μαρτυρίου,
ἀνέδειξας φαιδροτέραν, Βασιλεῦ,
ἵνα καὶ μάρτυς ὀφθῇς καὶ ἱεράρχης.

tit. Τοῦ ἁγίου ἱερομάρτυρος Βασιλέως cdd. Nomen Γερμ... in margine Lp heirm. α΄ EE 78, n. 110, Germani Ut primum tropar... in H legimus: Ἡ ὑπερκόσμιος τοῦ θεοφόρου ποιμένος / συγκαλεῖται ἅπαντας σήμερον μνήμη, / εὐφραίνουσα τὰς καρδίας τῶν πιστῶν / τοῖς ἱεροῖς αὐτοῦ ἄθλοις ἐ...σίως. 2 ὡς ἑωσφόρον λάμψαντα] ἑωσφόρον λάμποντα H λάμποντα Lp 6 πρὸ τῶν ἀγώνων] ἱερομύστα H 7 ἀσώματον om. H 8 πρὸς συμπλοκὴν κα...ήτησας πίστει H 9-12 troparium om. H

θεοτ. Τὴν μητέρα σου, Χριστέ, θεοτόκον
οἱ πιστοὶ δοξάζομεν ἀκαταπαύστως,
ὡς πρεσβεύουσαν ὑπὲρ πάντων ἡμῶν
τοῦ λυτρωθῆναι ἡμᾶς ἐκ τῶν κινδύνων.

ᾠδὴ γ΄. *Ἐστερεώθη ἡ καρδία μου ἐν κυρίῳ*

Τὸν χαρακτῆρα, πάτερ, τῆς εὐσεβείας
μυηθεὶς ἐν πνεύματι, ἀνεμάξω
μυσταγωγίαν ἀπόρρητον
ἐκ τῶν ἀγράφων βυθῶν.

Ὡς τοῦ κρατῆρος, ὅσιε, τῆς σοφίας
μυστικῶς γευσάμενος, θεοφράστους
f. 131 εὐχὰς ἐξέθου θυό||μενος
τῷ ἀκηράτῳ Θεῷ.

Ἐπὶ σφαγὴν ἑλκόμενος ἠκολούθεις
ὡς κριὸς ἐπίσημος οὐκ ἐρίζων,
οὐ κραυγάζων ὡς γέγραπται,
θρέμμα Χριστοῦ καὶ ποιμήν.

θεοτ. Ἡ τὸν Θεὸν ἐν μήτρᾳ σου δεξαμένη
καὶ τεκοῦσα τοῦτον σεσαρκωμένον,
θεοτόκε, ἱκέτευε
τοῦ σωθῆναι ἡμᾶς.

13-16 θεοτ. cfr. p. 27 Post oden α΄ Lp vestigia odes β΄ continet, cuius autem hoc unum troparium superest:
« *Πρόσεχε, οὐρανέ, καὶ λαλήσω* »
Ἀνέτειλεν ἡ ἐτήσιος μνήμη
τοῦ ἱεράρχου
ὡς ἥλιος ἐν κόσμῳ
Hic in Lp interrumpitur canon.
heirm. γ΄ EE 78, n. 110, Germani 18 ἀνεδέξω H 22 θεοφράστως H 25-28 Pro hoc troparium alterum praebet H: Ὁ τὸν βυθὸν τὸν ἄνω ποθῶν περάσαι / τοῦ ἐπιγείου, ἔνδοξε, καὶ προσκαίρου / βυθοῦ τὴν πλάνην ἐπέρασας / τῇ συνεργίᾳ Θεοῦ. 29 Ἡ om. H
Post oden γ΄ κάθ. praebet H. inc.: Θείῳ πνεύματι πεφωτισμένος ... MR III, 412

25-27 Cfr. Gen. 22,4-13

ᾠδὴ δ΄. *Τὴν ἀκοήν σου, κύριε,*

Τοῖς νοεροῖς σου ὄμμασι
τὴν ἀπρόσιτον αἴγλην ἐδέξω,
φερώνυμε Βασιλεῦ, παθῶν αὐτοκράτορ,
καὶ προφητείας χρησμὸν ἐδέξω
καὶ προγνώσεως χάριν
τοῦ βλέπειν τὰ ἔμπροσθεν.

Τὸν χοῦν ἐάσας, ὅσιε,
πρὸς τὴν ἄϋλον ἔσπευσας πόλιν·
διὰ ὕδατος ὑποβρύχιος διέπλευσας
τὸν τῆς προνοίας βυθὸν ἀπορρήτως
καὶ τομῶς καταντήσας
πρὸς τὸν ὄντως σὸν ἐραστήν.

Ὡς ἱερεῖον ἄμωμον
ἱερὰ προσηνέχθης θυσία
f. 131ᵛ καὶ γέγονας ὁλοκάρπωμα || τῷ κυρίῳ
καὶ ὡς ἀμνὸς τῷ βωμῷ ἐξετέθης
τῆς ἀμώμου λατρείας,
ἀξιομακάριστε.

θεοτ. Ὡς λιμένα εὔδιον
καὶ ἐλπίδα ἡμῶν σε ὑμνοῦμεν,
πανάχραντε θεοτόκε, μῆτερ ἁγία,
τοῦ κατὰ σάρκα ἐκ σοῦ γεννηθέντος
βασιλέως τῆς δόξης,
Χριστοῦ τοῦ Θεοῦ ἡμῶν.

ᾠδὴ ε΄. *Ὀρθρίζοντες ὑμνοῦμέν σε, κύρι[ε],*

Ἐρρύσθη σου ὡς ἐκ παγίδος στρουθίον,
ἱερομάρτυς, ἡ ψυχή,

---

heirm. δ΄ EE 79, n. 111, Germani 34 ἀπρόσ[ιτον]] ἀπόρρητον H 36 ἀνεδέξω H 39 ἐάσας] ἀφεὶς H 41 διαπλεύσας H 45-50 troparium om. H 53 πανάχραντε] πανάμωμε H
heirm. ε΄ EE 78 n. 110, Germani ἀνυμνοῦμέν σε, [κύρι]ε, EE

---

47 Cfr. Gen. 22,13 57-58 Ps. 123,7

συντριβείσης νοητῶς
τῆς παγίδος τοῦ ἐχθροῦ
ἐν τῷ ὀνόματι
τῆς Χριστοῦ βασιλείας.

Φερώνυμον ἀνεδέξω τὴν κλῆσιν,
ἱερομάρτυς Βασιλεῦ·
αὐτοκράτορι γὰρ νῷ
βασιλεύσας τῶν παθῶν,
ὥσπερ διάδημα
ἀνεπλέξω τὴν νίκην.

Τῷ αἵματι τοῦ μαρτυρίου σου βάψας
ὡς ἁλουργίδα μυστικὴν
. 132 τῆς ‖ σαρκός σου τὴν στολήν,
ἀφθαρσίας ἔνδυμα
ταύτην ἀνέδειξας,
θεομύστα Βασιλεῦ.

εοτ. Θεός ἐστιν ὁ τεχθεὶς ἐκ παρθένου
εἰς ἀναγέννησιν ἡμῶν
καὶ ἐφώτισεν ἡμᾶς
εἰς ἐπίγνωσιν αὐτοῦ
καὶ δοξάζομεν
τὴν αὐτοῦ εὐσπλαγχνίαν.

ᾠδὴ ς'. *Τοὺς εἰς τὰ τέλη τῶν αἰώνων*

Ἐν τῇ θαλάσσῃ ἡ ὁδός σου
καὶ αἱ τρίβοι σου ἐν ὕδασι [πολλοῖς],
ὡς ἐμελῴδει ὁ Δαυΐδ,
καὶ τὰ ἴχνη σου οὐ γνωσθήσονται

60 τοῦ ἐχθροῦ om. H 68 ἐκοσμήθης τὴν καρδίαν H 75 Θεός] Ἰησοῦς H
heirm. ς' EE 78, n. 110, Germani 81 σου om. Hg 82 πολλοῖς om. Hg expunxi metri causa 83 ὡς μελῳδεῖ θεῖος Δαυΐδ H 84 σου om. H οὐ om. Hg γνωσθήσομαι H

81-84 Ps. 76 20

τῆς σῆς, μάρτυς, πορείας, ἧς ἐν βυθῷ
τὸ κῆτος παραδραμὼν διεσώθης.

Ἐπὶ λιμένας σωτηρίους
ἐπειγόμενος, ἀείμνηστε,
τῆς θεοπνεύστου σου ψυχῆς
τὸ ἱστίον ἀνεπέτασας
καὶ ἔφυγες τὴν ζάλην τῶν νοητῶν
κυμάτων, τὰς μηχανὰς τῶν τυράννων.

Κόσμον λιπὼν καὶ κοσμοκράτορα
f. 132v ‖ καὶ σαρκὸς ἔξω γενόμενος,
συνανεκράθης τῷ Θεῷ
ὑποτάξας καὶ τὸ φρόνημα
τῷ πνεύματί σου, πάτερ, τὸ τῆς σαρκός,
τὴν ἔχθραν τὴν πρὸς Θεὸν καταργήσας.

θεοτ. * Χαῖρε, πύλη ἀδιόδευτε,
χαῖρε, βάτε ἀκατάφλεκτε,
χαῖρε, στάμνος ἡ χρυσῆ,
χαῖρε, ὄρος ἀλατόμητον,
χαῖρε, θεοτόκε, ἐλπὶς ἀρραγὴς
καὶ τεῖχος τῶν ἐπὶ σοὶ πεποιθότων.

ᾠδὴ ζ'. *Τρεῖς παῖδες ἐν καμίνῳ*

Πραέως καὶ ἠπίως
τὸν αὐχένα ὑπέκλινας
καὶ τοῦ ξίφους τὴν τομὴν ὑπενεγκὼν ἀκλινῶς,
τοῦ βασιλέως τῆς δόξης
γνώριμος ὤφθης φερωνύμως,
Βασιλεῦ ἱερέ.

Θαλάσσης κυμαινούσης
καὶ τῆς ζάλης, ἀείμνηστε,

86 νεκρὸν τὸ κῆτος ἡμῶν διεσώθης H 87 σωτηρίας H 90 ἱστίον] ἴδιον H
93-98 troparium om. H 99-104 θεοτ. MR VI, 116.
heirm. ζ' EE 79, n. 111, Germani 109 φερωνύμως] ἱερ[illegible]; H 110 φερώνυμος Βασιλεῦ H

τῶν εἰδώλων τὸν χειμῶνα διεπέρασας
καὶ πρὸς γαλήνης λιμένα
τῆς θείας δόξης τοῦ Χριστοῦ
ἐνεφωρμίσθης, σοφέ.

f. 133 ‖ Τιμᾷ σου Ἀμασέων
ἡ πολίχνη, πανεύφημε,
σὺν ἡμῖν τὴν ἱερὰν μνήμην, δοξάζουσα
τὸν ἐν ζωῇ καὶ θανάτῳ
σὲ ἀδιαίρετον αὐτῆς
ὀφθέντα φύλακα.

θεοτ. * Ἐτέχθης ἐκ παρθένου
ὡς ηὐδόκησας, κύριε,
καὶ ἐρρύσω ἐκ φθορᾶς τὴν ζωὴν ἡμῶν,
διὰ τοῦτο βοῶμεν·
« εὐλογητὸς εἶ ὁ Θεός,
ὁ τῶν πατέρων ἡμῶν ».

ᾠδὴ η'. *Τὸν ἐν φλογὶ*
τοῖς παισὶ τῶν Ἑβραίων

Τὴν ἐν φλογὶ
τῶν παθῶν μαρτυρίαν,
ἱερομάρτυς,
δι' εὐχῆς κατασβέσας,
ἑαυτὸν ἐστόμωσας
ἀπαθείας ἄνθραξιν,
ὅπλον χρηματίσας
κατὰ τῆς ἀσεβείας.

Κἂν ἐν ταφῇ,
ἱεράρχα καὶ μάρτυς,

113 χειμῶνα] χειμάρρουν H 114 καὶ πρὸς λιμένα τὸν θεῖον H καὶ om. Hg 115 ἐγκαθωρμίσθης Βασιλεῦ H 116 ὑμνολογῶν τὸν Χριστόν H ἐνεθορμίσθης (sic) Hg 117 σου] σε H 123-128 θεοτ. MR V, 12 124 εὐδόκησας H 128 v. om. in Hg
heirm. η' EE 78, n. 110, Germani 138 καὶ om. Hg.

127-128 Dan. 3,52

ὑπάρχῃς κείμενος,
ἀλλ' ὡς ζῶν ἀναβλύζεις
ἰάσεως χάρισμα
τοῖς ἐν πίστει τιμῶσι
τοὺς ἐπινικίους
τῶν ἀγώνων σου ἄθλους.

Ἐν τῇ τρυφῇ
τῆς Χριστοῦ βασιλείας,
ἱερομάρτυς,
μυστικῶς συναυλίζῃ
ὡς πιστὸς συγκάθεδρος
f. 133v τῶν σοφῶν ‖ ἀποστόλων
καὶ συγκληρονόμος
τῶν ἁγίων ἀγγέλων.

θεοτ. Χαῖρε, σεμνή,
δυσανάβατον ὕψος
τοῖς τῶν βροτῶν ὀφθαλμοῖς,
χαῖρε, ὄμμασι νόων
βάθος δυσθεώρητον,
χαῖρε, μῆτερ παρθένε
καὶ θεοκυῆτορ,
εὐλογημένη Μαρία.

ᾠδὴ θ'. *Σὲ τὴν ἀθάνατον πηγὴν*

Νοῦν προκαθήρας τῆς σαρκός,
ἐν νῷ, μάρτυς ἀοίδιμε,
τῷ βαπτίσματι ἄμφω καὶ αἵματι
πιστῶς κατακεκόσμησαι,
τοὺς στεφάνους κομισάμενος.

Ὡς καθαρὰ καὶ ἀναίμακτος σφαγὴ
ὡλοκαυτώθης, ἀοίδιμε,
καὶ δι' ὕδατος ὤφθης μετάρσιος

141 ἰάσεων χάριτας H 145-152 troparium om. H 156 χαίροις H
heirm. θ' EE 78, n. 110, Germani 161 Νοῦν] νῷ H

πρὸς τὴν ζωὴν τὴν ἀχείμαστον
τοῦ σωτῆρος καὶ Θεοῦ ἡμῶν.

Ἐν ταῖς χερσὶ τὴν ψυχήν σου παραδοὺς
τοῦ Ἰησοῦ, ἱερώτατε,
στήλην ἔμψυχον, ταύτην κατέλιπες
f. 134 ἡμῖν ‖ τὴν ἐνάρετον
καὶ δι' αἵματος πολιτείαν σου.

θεοτ. * Σὲ τὴν ἐκ ῥίζης Ἰεσσαὶ
καὶ Δαυὶδ τοῦ προπάτορος
ἐκβλαστήσασαν ῥάβδον, πανάχραντε
ἁγνή, μεγαλύνομεν,
ὅτι σώζεις τὰς ψυχὰς ἡμῶν.

---

172 τοῦ om. H 173 ταύτην] μάρτυς H 174 ἡμῖν om. H
176-180 θεοτ. TR, 294 178 πανάχραντε] πανύμνητε H TR

176-178 Is. 11,1

IN SANCTUM ZOSIMAM ⟨SEU ZO[illegible]UM⟩

Synaxarium ed. Lauriota I. 70 (S. Eustra[illegible]lis, Ἁγιολόγιον, p. 164): Οὗτος ὁ ὅσιος ἐκ βρέφους τῷ Θεῷ ἀνατεθεὶς [illegible] πᾶν εἶδος ἀρετῆς μετελθὼν περιῆλθε (περὶ) τοὺς χιλίους ἀσκητὰς καὶ [illegible]μβανεν ἐξ αὐτῶν ὑποδείγματα θεοπρεπῆ ἐκ καθενὸς ἑκάστου· μονάσα[illegible] [illegible] κατὰ μικρὸν ἐν ἡσυχαστικῷ τόπῳ ἔν τινι σπηλαίῳ καὶ σκληραγωγίαν [illegible] δάκρυα πλεῖστα κτησάμενος ἔδοξεν ἐν ἑαυτῷ ὡς ὑπερβῆναι ἐν ἀρετ[illegible] [illegible]ὴν τῶν ἀσκητῶν ὁμήγυριν· διὰ τοῦτο θείῳ ζήλῳ κινηθεὶς κατέλαβε [illegible] μοναστήριον τοῦ τιμίου Προδρόμου ἐν τῷ Ἰορδάνῃ ποταμῷ· καὶ μικρὸ[illegible] [illegible]κεῖσε ἐνδιατρίψας ἐξῆλθεν εἰς τὴν ἔρημον ἐν ταῖς νηστίμοις καὶ ἁγίαις ἡ[illegible]ραις, καὶ κατ' εὐδοκίαν θεοῦ περιέτυχε τὴν τιμίαν ἐν γυναιξὶ καὶ ὁσία[illegible] καὶ ἰσάγγελον τὴν ἁγίαν Μαρίαν τὴν Αἰγυπτίαν καὶ πολλὰ οὗτος τὰ πρὸ[illegible] [illegible]ρετὴν συμφέροντα καθοδηγήσας καὶ τῶν θείων καὶ ζωοποιῶν μυστηρίων μ[illegible]δοὺς καὶ ἐντίμως κηδεύσας ὑπέστρεψεν εἰς τὸ ῥηθὲν μοναστήριον καὶ [illegible]ᾶσι τὰ ὁραθέντα αὐτῷ ἀγγελικὰ καὶ περιβόητα θαύματα καλῶς διηγησ[illegible]μενος, ἀπῆλθε καὶ πρὸς τὸν ἐν ἁγίοις πατριάρχην Ἱεροσολύμων Σωφρ[illegible]ν καὶ τὰ ὅμοια καλῶς διηγησάμενος, γραφῇ τοῖς μετέπειτα εἰς ὠφέλ[illegible] τῶν χριστιανῶν παραδέδωκε καὶ οὕτως ὑποστρέψας ἐν τῷ αὐτοῦ κ[illegible]λίῳ πρὸς Κύριον ἐξεδήμησεν.

Crypt. Δ.α. XVII = Ck, ff. 229ᵛ-233
Crypt. Δ.α. VIII = Do, ff. 96-98ᵛ
Vat. gr. 2008 = Vm, ff. 168ᵛ-169ᵛ

Ὁ κανὼν φέρων ἀκροστιχίδα·
Τὴν σὴν ἐπαινῶ, παμμάκαρ, ζῶσαν χά[illegible]· Ἰωσήφ.

Ἦχος πλ. β'.

ᾠδὴ α'. *Ὡς ἐν ἠπείρῳ πεζεύσας*

Τὴν τοῦ Θεοῦ βασιλείαν
παραλαβὼν
κλῆρον ἀναφαίρετον
καὶ ζωὴν τὴν ἀληθῆ,

---

tit. Ἕτερος κανὼν τοῦ ὁσίου Ζωσιμᾶ Ck qui duo can[illegible] alternatis odis hoc ordine praebet: priorem Σίμων, ἱερώτατε, τῷ δεσπ[illegible]... in sanctum Simonem MR IV, 398-401, alterum quem referimus [illegible]onem. Nomen Ἰωσήφ in margine dextro legitur in Do.
heirm. α' EE 159, n. 224, Joannis

Ζωσιμᾶ μακάριε, εὑρών,
τοὺς ὑμνοῦντάς σε τυχεῖν
ταύτης ἱκέτευε.

Ἡ πολυύμνητος χάρις
τοῦ παντουργοῦ
καὶ ἁγίου πνεύματος
ἐν τῇ θείᾳ σου ψυχῇ
ἱερῶς σκηνώσασα, ναὸν
καθαρόν σε, Ζωσιμᾶ,
Θεοῦ εἰργάσατο.

Νόμοις κυρίου πειθήσας,
τὸν σὸν σταυρὸν
ἀνδρικῶς ἀράμενος,
ἠκολούθησας αὐτῷ
καὶ πυρὶ ἀσκήσεως σαρκὸς
φρυγανώδη, Ζωσιμᾶ,
πάθη κατέκαυσας.

θεοτ. Σεσαρκωμένον τὸν Λόγον
δίχα τροπῆς
ἐπὶ γῆς ἐκύησας
εἰς ἀνάπλασιν βροτῶν,
τῶν μακαριζόντων σε φωναῖς
ἀσιγήτοις ἀληθῶς,
θεομακάριστε.

ᾠδὴ γʹ. *Οὐκ ἔστιν ἅγιος ὡς σύ,*

Ἡ σὴ τῷ ἔρωτι Χριστοῦ
πυρωθεῖσα καρδία
ἐβδελύξατο κόσμου
ἡδονὰς παντοδαπὰς
καὶ φωτισμοῦ νοητοῦ
ἐπληρώθης,
πάτερ ἀξιάγαστε.

21 κατέκαυσας] κατέφλεξας Do Vm
heirm. γʹ EE 159, n. 224, Joannis 34 ἐπληρώθη Do Vm

f. 230 ‖ Νεκρώσας πάθη σαρκικὰ
ἐπιπόνῳ ἀσκήσει,
τὴν ζωὴν ἐκληρώσω,
Ζωσιμᾶ, τὴν θαυμαστὴν
καὶ ἔδειξας ἐπὶ σοὶ
νῦν τὴν κλῆσιν,
πάτερ, ἀληθεύουσαν.

Εὑρεῖν ἐπόθησας σπουδῇ
Μαριὰμ ἐν ἐρήμῳ,
Ζωσιμᾶ, τὴν τρυγόνα
τὴν φιλέρημον σαφῶς,
φωτίσας τοὺς εὐσεβεῖς
τοῖς ἐκείνης
θείοις διηγήμασιν.

θεοτ. Παρθένος ἄφθορος, ἁγνή,
μετὰ τόκον ἐδείχθης,
τὸν φθορᾶς ἀνηρέτην
συλλαβοῦσα ὑπὲρ νοῦν·
διό σε χρεωστικῶς,
θεοτόκε,
πάντες μακαρίζομεν.

ᾠδὴ δʹ. *Χριστός μου δύναμις*

Ἁγίως ἤνυσας
τὸν βίον, ὅσιε,
ἀρετῶν ταῖς ἰδέαις
περιφανῶς
ἐγκαλλωπιζόμενος
καὶ νῦν παρίστασαι Χριστῷ,
εἰς αἰῶνας εὐφραινόμενος.

f. 230v ‖ Ἰσχὺν τὸν κύριον
καὶ κράτος θέμενος,
ἱερώτατος ὤφθης,

39 θαυμαστὴν] ἀληθῆ Do Vm 42 ἀληθεύουσα Do 47 εὐσεβοῦς Ck
48 τοῖς] τῆς Ck
heirm. δʹ EE 159, n. 224, Joannis 59 ἠδέαις Ck εἰδέαις Do Vm

χρῖσμα σεπτόν,
πάτερ, περικείμενος
καὶ ἀναιμάκτους τῷ Θεῷ
τὰς θυσίας προσαγόμενος.

Νοὸς λαμπρότητι
καθάπερ ἔσοπτρον
τὰς ἐμφάσεις τὰς θείας,
ἱερουργὲ
πάτερ, εἰσδεχόμενος,
ἔμπλεος ὤφθης φωτισμοῦ,
Ζωσιμᾶ θεομακάριστε.

Ὡς ὄλβον ἄσυλον
τὴν πολυήμερον
διανύσας πορείαν,
τὸ τοῦ Θεοῦ
ἱερὸν κειμήλιον
εὗρες, θεόφρον Ζωσιμᾶ,
ἐν ἐρήμῳ συγκρυπτόμενον.

θεοτ. Παστὰς ὁλόφωτος,
λυχνία πάγχρυσος,
ἁγιάσματος τόπος,
θρόνος Θεοῦ
ὤφθης ὑψηλότατος,
θεοχαρίτωτε ἁγνή,
καὶ παλάτιον εὐρύχωρον.

ᾠδὴ ε'. *Τῷ θείῳ φέγγει σου, ἀγαθέ,*

Ἄγρυπνον ἔσχηκας λογισμόν,
τὰς ἐπαναστάσεις τῶν παθῶν
κατακοιμίζων ἐν χάριτι
στάσει τῇ παννύχῳ,
θεομακάριστε·
διό σε νῦν πλουτοῦμεν
πρέσβυν ἀκοίμητον.

69 ἀναιμάκτως Do Vm   73 ἐνφάσεις Do   86 πάνχρυσος Do
heirm. ε' EE 159, n. 224, Joannis   95 στάσεως παννύχου Do Vm

Μοναδικῶς φέρων τὸν σταυρόν,
πάτερ, ἠκολούθησας Χριστῷ
ἀπὸ νεότητος, ὅσιε,
πράξεσιν ἐνθέοις
f. 231 καλ||λωπιζόμενος
καὶ τὴν ἀθανασίαν
προσεπικτώμενος.

Μυσταγωγὸς καὶ ἱερουργὸς
θείων μυστηρίων γεγονώς,
τούτων μετέχειν ἐποίησας
κατ' αὐτὴν τὴν ὥραν
τῆς τελειώσεως
Μαρίαν τὴν ὁσίαν,
πάτερ θεόπνευστε.

θεοτ. Ἁγιωτέρα τῶν Χερουβὶμ
γέγονας, πανύμνητε, Θεὸν
ἀνερμηνεύτως γεννήσασα,
σῶσαι βουληθέντα
κλοπῇ τοῦ ὄφεως
τὸ γένος τῶν ἀνθρώπων
καταφθειρόμενον.

ᾠδὴ ς'. *Τοῦ βίου τὴν θάλασσαν*

Κοσμήσας τὸν βίον σου
ἀρετῶν ταῖς καλλοναῖς,
κόσμος ὡραῖος γέγονας
τῶν μοναζόντων, ἔνδοξε Ζωσιμᾶ·
διὸ εὐφημοῦντές σε,
τὴν σεπτήν σου τιμῶμεν,
πάτερ, κοίμησιν.

Ἀγάπην ἀθόλωτον
καὶ ἐλπίδα ἀληθῆ

105 πρὸς ἐπικτώμενος Ck Do
heirm. ς' EE 159, n. 224, Joannis   122 ὡραίως Cl

117-119 Gen. 3,1-6

καὶ πίστιν ἀκηλίδωτον
ἔχων, μετῆλθες, πάτερ, πρὸς τὸν Θεόν,
ἀγέλαις ὁσίων τε
καὶ ἁγίων ἁπάντων
συνταττόμενος.

Ῥοαῖς τῶν δακρύων σου
πιαινόμενος ὡς γῆ,
καρπὸν ἑκατοστεύοντα
τῷ γεωργῷ προσήνεγκας, Ζωσιμᾶ,
καὶ πάντων δεσπόζοντι,
ἀποθήκαις ταῖς ἄνω
συντηρούμενον.

θεοτ. || Ζωὴν ἀπεκύησας
τοὺς θανόντας τῷ καρπῷ
ζωοποιοῦσαν, πάναγνε·
χαριστηρίοις ὅθεν σε οἱ πιστοὶ
φωναῖς μακαρίζομεν
διὰ σοῦ οἱ σωθέντες,
ἀξιύμνητε.

Κάθισμα.

Ἦχος δ'. *Ταχὺ προκατάλαβε*

Ὁσίως ἐβίωσας,
θεομακάριστε,
καὶ νῦν ἐξεδήμησας
πρὸς τὰς ἀΰλους μονάς,
ἐν αἷς καὶ ἐσκήνωσας,
γέρα τῶν σῶν καμάτων
δεδεγμένος· ἀξίως
ὅθεν σε ἀνυμνοῦμεν,
Ζωσιμᾶ θεοφόρε,
αἰτούμενοι ἐλέους τυχεῖν
ταῖς ἱκεσίαις σου.

142 θανέντας Ck Vm κάθ. praeponitur canoni in Vm
heirm. καθ. HR, 63

ᾠδὴ ζ'. *Δροσοβόλον μὲν τὴν κάμινον εἰργάσατο*

Ὡραιώθης καὶ ἀγγέλοις ἐξωμοίωσαι,
καλῶς πολιτευσάμενος
ἐκ νεότητος
μέχρι γήρως, πάτερ Ζωσιμᾶ,
καὶ νῦν μετετέθης πρὸς ζωήν,
γέρα τῶν πόνων εἰληφὼς
τὴν βασιλείαν Θεοῦ.

Σταυρωθεὶς παντὶ τῷ κόσμῳ, πάτερ ὅσιε,
σταυρὸν τὸν ὑπομείναντα
ἐθεράπευσας
ἐναρέτοις πράξεσιν, σοφέ,
φωστὴρ μοναζόντων γεγονὼς
καὶ τοῦ Θεοῦ ἱερουργός,
θαυματουργὲ Ζωσιμᾶ.

Ἀγαλλόμενος διώδευσας τὴν ἔρημον,
ὑπὸ Θεοῦ κινούμενος
καὶ ὡς τίμιον
f. 232 θησαυρὸν ἐν ταύτῃ || ἀνευρὼν
Μαρίαν, παμμάκαρ Ζωσιμᾶ,
τοῖς διηγήμασιν αὐτῆς
πιστοὺς ἐπλούτησας.

θεοτ. Νόμος θεῖος προεδήλου σε, πανάμωμε,
καὶ προφητῶν αἰνίγματα
τίκτειν μέλλουσαν
Ἰησοῦν Χριστὸν Ἐμμανουὴλ
εἰς πάντων βροτῶν καταλλαγὴν
καὶ σωτηρίαν καὶ ζωὴν
καὶ ἀπολύτρωσιν.

heirm. ζ' EE 159, n. 224, Joannis 151 γήρους Vm

170-172 Is. 7,14

ᾠδὴ η'. Ἐκ φλογὸς τοῖς ὁσίοις

Χαρισμάτων ἐπλήσθης
τοῦ θείου πνεύματος,
ὡς προφήτης προλέγων
τὰ γενησόμενα,
πάτερ Ζωσιμᾶ,
ἱερέων ἀγλάϊσμα,
κλέος μοναζόντων,
φωστὴρ τῆς οἰκουμένης.

Ἀγαθαῖς ἐργασίαις
ὡραϊζόμενος,
θεωρίαις ταῖς ἄνω,
πάτερ, ὑψούμενος,
ὕψος νοητὸν
ἀπαθείας κατέλαβες
καὶ τοῖς ἀσωμάτοις
ἀγγέλοις ὡμοιώθης.

Ῥεῖθρα ῥέων δακρύων
ὡς ῥόδα εὔοσμα,
εὐωδία ἐγένου
τοῦ θείου πνεύματος,
πάτερ Ζωσιμᾶ,
τὰς ψυχὰς ἡμῶν χάριτι
κατευωδιάζων,
τῶν πόθῳ σε ὑμνούντων.

τριαδ. Ἱεραῖς μελῳδίαις
ὑμνολογήσωμεν
f. 232v τὸν πατέρα, || υἱόν τε
καὶ πνεῦμα ἅγιον,
ἄκτιστον Θεόν,

heirm. η' EE 159, n. 224, Joannis 176 ἐπλήσθης] ἐδείχθης Do Vm
177 τοῦ θείου] δοχεῖον Do Vm 186 καὶ νηστείαις καὶ πόνοις Do Vm
187 σαυτὸν διδόμενος Do Vm 199 ὑμνούντων] τιμώντων Do Vm

κτίστην πάντων καὶ κύριον,
ὃν ὑπερυψοῦμεν
εἰς πάντας τοὺς αἰῶνας.

θεοτ. Νυσταγμῷ ἀμελείας
τῆς ἁμαρτίας με
ὁ βαρύτατος ὕπνος,
κόρη, κατέλαβεν·
ὅθεν σοι βοῶ,
τῇ ἀγρύπνῳ δεήσει σου
πρὸς τῆς μετανοίας
τὸ φῶς ἐξέγειρόν με.

ᾠδὴ θ'. *Θεὸν*
ἀνθρώποις ἰδεῖν ἀδύνατον

Ἰδεῖν
τὰ πάλαι σοι ἐλπιζόμενα,
ἀπολυθείς,
παμμάκαρ, τῆς σαρκός, κατηξίωσαι
καὶ συνήφθης τερπναῖς ὁμηγύρεσι
πάντων διαλαμψάντων
ἐν ὁσιότητι·
ὅθεν σὺν αὐτοῖς σε, Ζωσιμᾶ,
πίστει γεραίρομεν.

Ὡς φῶς
ἡ μνήμη σου ἐξανέτειλεν,
φωτιστικαῖς
ἀκτῖσι, θεοφόρε, τοῦ πνεύματος
καταυγάζουσα κόσμου τὰ πέρατα,
ἣν νῦν ἐπιτελοῦντας
φώτισον, ὅσιε,
καὶ παθῶν ἡμᾶς φθοροποιῶν
εὐχαῖς σου λύτρωσαι.

heirm. θ' EE 159-160, n. 224, Joannis

Σαρκὸς
τὰ πάθη σαφῶς ὑπέταξας
τῷ λογισμῷ·
f. 233 || ὡς ἄγγελος ὀφθεὶς μετὰ σώματος,
Ζωσιμᾶ, σὺν ἀγγέλοις παρίστασαι
θρόνῳ τῆς θείας δόξης,
χάριν καὶ ἔλεος
ἅπασιν αἰτούμενος ἡμῖν
τοῖς εὐφημοῦσί σε.

Ἡ γῆ,
ἐν ᾗ σου, πάτερ, κατάκειται
τὸ ἱερὸν
καὶ θεῖον, Ζωσιμᾶ, σῶμα, δείκνυται
ἰαμάτων πηγὴ τοῖς προστρέχουσι
καὶ ἀπαρυομένοις
χάριν σωτήριον
καὶ ὑμνολογοῦσι διὰ σοῦ
τὸν ὑπεράγαθον.

θεοτ. Φωνὴν
βοῶμέν σοι χαριστήριον·
χαῖρε, Θεοῦ
τερπνόν τε καὶ πανάγιον σκήνωμα,
χαῖρε, κόσμου παντὸς τὸ διάσωσμα,
χαῖρε, εὐλογημένη,
χαῖρε, πανάμωμε,
δι᾽ ἧς ἐλυτρώθημεν φθορᾶς
καὶ κατακρίσεως.

237 ὡς] καὶ Do 241 ἅπασιν αἰτούμενος] πᾶσιν ἐξαιτούμενος Do Vm

28 APRIL. *CANON* XXXIII

IN SANCTUM IASONEM APOSTOLUM

Synaxarium, 633-636: Ὧν ὁ μὲν Ἰάσων Ταρσεὺς ἦν, ὃς καὶ πρῶτος ζωγρεῖται πρὸς εὐσέβειαν· Σωσίπατρος δὲ ἐξ Ἀχαΐας ὁρμώμενος, μετὰ ταῦτα τὴν εἰς Χριστὸν πίστιν ἐδέξατο, ἀμφότεροι μαθηταὶ χρηματίσαντες Παύλου τοῦ ἀποστόλου. Καὶ ὁ μὲν Ἰάσων τῆς οἰκείας πόλεως διδάσκαλος καθίσταται, ὁ δὲ Σωσίπατρος τῆς Ἰκονιέων ἐκκλησίας τοὺς οἴακας δέχεται· οἵτινες τὰς ἐκκλησίας αὐτῶν ποιμάναντες καὶ πληθύναντες, τὴν ἑσπέραν καταλαμβάνουσι καὶ τῇ Κερκυραίων ἐπιδημήσαντες νήσῳ ναὸν περικαλλῆ ἀνεγείρουσι Στεφάνῳ τῷ πρωτομάρτυρι· ἔνθα τῷ Θεῷ λειτουργοῦντες πολλοὺς πρὸς τὴν εἰς Χριστὸν πίστιν ἐπεσπάσαντο. Διαβληθέντες δὲ Κερκυλίνῳ τῷ βασιλεῖ, φρουρᾷ ἐγκλείονται, ... Ἰάσων δὲ καὶ Σωσίπατρος τῆς φυλακῆς ἀπολυθέντες ἐδίδασκον ἀκωλύτως τὸν λόγον τοῦ Θεοῦ. Ἐπεὶ δὲ ἀνέστη βασιλεὺς ἕτερος καὶ τὰ περὶ τῶν ἁγίων ἔμαθε, κελεύει ἐνεχθῆναι βούτην σιδηρᾶν καὶ βληθῆναι πίσσαν ἐν αὐτῇ καὶ ῥητίνην καὶ κηρόν, καὶ ἐκπυρωθῆναι σφοδρῶς καὶ τοὺς ἁγίους ἐν αὐτῇ ἐμβληθῆναι. Τούτου δὲ γενομένου καὶ τῶν ἁγίων ἀφλέκτων διαφυλαχθέντων, πολλοὶ τῶν ἀπίστων οἱ μὲν κατεφλέχθησαν, οἱ δὲ τῷ Χριστῷ ἐπίστευσαν ..... Τότε ὁ μακάριος Ἰάσων ..... παρόντος, καὶ τοῦ βασιλέως, καὶ κατηχήσας αὐτὸν ἐβάπτισεν. ..... ὁ υἱὸς τοῦ βασιλέως νόσῳ περιπεσὼν ἐτελεύτησεν. Ὁ δὲ ἀπόστολος προσευξάμενος ἤγειρεν αὐτὸν ἐκ νεκρῶν. Πολλὰ οὖν ἔκτοτε λόγου καὶ μνήμης ἄξια κατεργασάμενος θαύματα καὶ ναοὺς ἀνεγείρας..... ἐν γήρει πίονι καταλύει τὸν βίον καὶ πρὸς τὸν ποθούμενον διαβαίνει.

Crypt. Δ.α. XVII	= Ck, ff. 233v-235v
Crypt. Δ.α. VIII	= Do, ff. 104-106v
Paris. gr. 1564	= Py, ff. 65-66v
Reg. gr. 61	= Lo, ff. 107v-111v
Mess. gr. 121	= Mh, f. 140v
Vallic. gr. E 54	= Ea, ff. 230v-232
Paris. gr. 1575	= Pv, ff. 61v-62v

Ὁ κανὼν φέρων ἀκροστιχίδα·
Τὸν κλεινὸν Ἰάσονα ὑμνῶ προφρόνως· Ἰωσήφ.

Ἦχος πλ. δ'.

ᾠδὴ α'. *Ἡ κεκομμένη τὴν ἄτομον ἔτεμε*

Ταῖς τῶν ἀγγέλων συνὼν ὁμηγύρεσι
καὶ ἀνεσπέρου φωτὸς
πάντοτε πληρούμενος
καὶ θέσει ἀληθεῖ
θεούμενος, πανόλβιε,
τοὺς πόθῳ ἑορτάζοντας τὴν σὴν
ἁγίαν μνήμην φώτισον,
τῷ κυρίῳ ᾄδοντας·
« ἐνδόξως γὰρ δεδόξασται ».

Ὁ θεϊκός σε διόλου ἀνέφλεξεν,
Ἰάσον, πόθος· θερμῶς
ὅθεν ἠκολούθησας
τῷ πῦρ ἐπὶ τῆς γῆς
βαλεῖν ἐλθόντι, ἔνδοξε,
ὑφ' οὗ φωταγωγούμενος λαμπρῶς
ἐνθέως ἀνεκραύγαζες·
« τῷ κυρίῳ ᾄσωμεν
ἐνδόξως γὰρ δεδόξασται ».

Νόων ἀΰλων τὸν τρόπον μιμούμενος
τῷ ἐπὶ γῆς δι' ἡμᾶς
ὕλῃ, μάκαρ, σώματος

tit. Τοῦ ἁγίου ἀποστόλου Ἰάσονος ἑνὸς τῶν ο' μαρτύρων Do ἀποστόλων Py Ὁ κανών, οὗ ἡ ἀκροστιχίς ... Lo Pv acr. om. Mh acr. Nomen Ἰωσήφ in margine Ck Do Py Lo om. Pv; Mh, aliquibus exscissis foliis, mutilum tradit canonem

heirm. α' EE 220 n. 316 Joannis 8 ᾄδοντας] ψάλλοντας Do Py Lo Mh Ea Pv 10 κατέφλεξεν Mh 11 πόθῳ Lo θερμὸς Py Ea 13 τῷ] τὸ Ck Py Ea Pv 14 πάλιν ἐλθόντες ἔνδοξε Lo 15 λαμπρὸς Mh 17 versus om. Mh 19 Νόων] νοῶν Ck Do Lo Mh Ζοῶν (sic) Ea

9 Ex. 15,1 18 Ex. 15,1

φανέντι συμπαθῶς,
Ἰάσον, ἐλειτούργησας,
f. 234 διάκονός τε || τούτου ἱερὸς
κραυγάζων ἀναπέφηνας·
« τῷ κυρίῳ ᾄσωμεν
ἐνδόξως γὰρ δεδόξασται ».

θεοτ. Κόρης ἀνάνδρου ὤφθη σαρκούμενος
δι' εὐσπλαγχνίαν πολλὴν
ὁ ἀπερινόητος,
τοὺς πάθεσι σαρκὸς
ἀθλίως ὑποκύψαντας
ἀνάγων πρὸς ἀπάθειαν σαφῶς
τῷ πάθει τῆς σαρκὸς αὐτοῦ,
ᾧ συνήθως ψάλλομεν·
« ἐνδόξως γὰρ δεδόξασται ».

ᾠδὴ γ'. *Σὺ εἶ τὸ στερέωμα*

Λύρα ὤφθης πνεύματος,
ἀναφωνῶν ἡμῖν δόγματα
θεοπρεπῆ
καὶ κατακοιμίζων
πονηρότατα ᾄσματα.

Ἔβλυσεν ἡ γλῶσσά σου
ποταμηδὸν ζωῆς ῥεύματα
καὶ τὰ πικρὰ
ὕδατα τῆς πλάνης
ἀπεμείωσεν, ἔνδοξε.

Ἴασιν πηγάζει σου
τὰ ἱερά, σοφέ, λείψανα

23 hic abrumpitur hymnus in Mh 24 ἱερῶς Ck [illegible] 32 ὑποκύψαντος Lo 33 σαφῶς] σαρκὸς Lo 35 ᾧ] ὡς Lo

heirm. γ' EE 224, n. 321, Joannis 38 ἡμῶν Lo 39 [illegible]ερπῆ Py Lo Pv 42 ἔμβλυσεν Ea

27 Ex. 15,1 36 Ex. 15,1

παντοδαπῇ
πνεύματος ἁγίου
συνεργίᾳ καὶ χάριτι.

θεοτ. Νέκρωσον, πανάμωμε,
ζωοπαρόχῳ δεήσει σου
τὴν ἐν ἐμοὶ
ζῶσαν ἁμαρτίαν,
τὴν ζωὴν ἡ κυήσασα.

ᾠδὴ δ'. *Εἰσακήκοα, κύριε, τῆς οἰκονομίας σου τὸ μυστήριον*

Ὀπαδὸς ἐχρημάτισας
Παύλου τοῦ πανσόφου ἱεροκήρυκος,
μιμητὴς Χριστοῦ δέ, ἔνδοξε,
ταῖς αὐτοῦ ὑπείκων
θείαις νεύσεσιν.

Νυμφοστόλος γεγένησαι
θείας ἐκκλησίας, ταύτην τῷ πνεύματι,
θεοφόρε, μνηστευόμενος
τῷ ἡδίστῳ λόγῳ
τῆς σοφίας σου.

Ἰατρὸς ἐμπειρότατος
ταῖς ἀλεξικάκοις θείαις παλάμαις σου
τῶν νοσούντων ἐχρημάτισας,
θεραπεύων πάθη
χαλεπώτατα.

θεοτ. Ἀπειρόγαμε δέσποινα,
σῶσόν με, σωτῆρα Λόγον κυήσασα,
καὶ κινδύνων ἐλευθέρωσον
καὶ αἰωνιζούσης
κατακρίσεως.

---

54 ἐμοὶ] ὑμῖν Ea
heirm. δ' EE 225, n. 322, Cosmae   59 δὲ om. Pv   71 ἀλογώτατα Ea

---

57-58 Rom. 16, 21

ᾠδὴ ε'. *Ὁ ἐκ νυκτὸς ἀγνοίας*

Συνεχομένους πλάνῃ
καὶ ἀπωλείᾳ ἀφρόνως δουλεύοντας
τοὺς ἀνθρώπους, παμμάκαρ,
θείαις διδαχαῖς ἠλευθέρωσας.

Οἷα πυρσὸς ἐν ὕψει
θεογνωσίας, Ἰάσον, προκείμενος,
f. 234v || εἵλκυσας πρὸς λιμένα
θεῖον τοὺς δεινῶς θαλαττεύοντας.

Νενεκρωμένους πάλαι
τοὺς ἐνυπάρχοντας ὄφεως δήγματι,
ζωηρρύτῳ σου λόγῳ,
παμμάκαρ, θαυμαστώσας ἐζώωσας.

θεοτ. Ἁγιωτέρα ὤφθης
τῶν Χερουβίμ, ἐπὶ γῆς σωματώσασα
τὸν τῶν ὅλων δεσπότην,
ἄχραντε πανύμνητε δέσποινα.

ᾠδὴ ς'. *Ὡς τὸν προφήτην ἐρρύσω*

Ὑπερθαυμάσας τὸ κάλλος
τοῦ δι' οἶκτον ἡμῖν ὁμιλήσαντος,
Ἰάσον ἀπόστολε,
τούτῳ ἠκολούθησας
καὶ κατέλιπες
βίου τὴν τερπνότητα.

Μεμυημένος τὰ θεῖα,
κατεμύησας χάριτι, ἔνδοξε,

---

heirm. ε' EE 226, n. 323, Germani   81 Οἷα] Διὰ Lo   83 λιμένας Lo
86 ἐνυπάρχοντας] ὑπαχθέντας τοῦ Ea   88 μάκαρ θαυμασ[illegible] ἀνεζώωσας Pv Lo Pv θαυμαστῆς Lo   91 τῶν τῶν Lo Ea
heirm. ς' EE 226, n. 323, Germani   93 Ὑπερθαυμά[illegible]] ὥσπερ θαυμάσας Lo   98 τὴν om. Lo

τριάδος τὴν ἔλλαμψιν
τοὺς πάλαι τὴν πλήρωσιν
περιφέροντας
τῆς ἀγνοίας ἄφρονας.

Νόσους διώκων ποικίλας
καὶ σοβῶν τῆς κακίας τὰ πνεύματα,
λαοὺς πρὸς ἐπίγνωσιν
κυρίου ἐπέστρεψας,
λυτρωσάμενος
πλάνης τοῦ ἀλάστορος.

θεοτ. Ὡς ὑετὸς ἐπὶ πόκον
ὁ σωτήριος Λόγος ἐν μήτρᾳ σου
κατῆλθε καὶ ἄνθρωπος
ἐκ σοῦ ἐχρηματίσε,
διασῴζων με,
κόρη, μεσιτείᾳ σου.

Κάθισμα.

Ἦχος πλ. δʹ. *Τὴν σοφίαν τοῦ Λόγου*

Φωτοβόλοις ἀκτῖσι
λόγων σεπτῶν
κατεφώτισας πάντας θεοπρεπῶς,
Ἰάσον ἀπόστολε,
καὶ τὸ σκότος ἐμείωσας
καὶ ἀθλήσας, μάκαρ,
πηγάζεις ἰάματα
καὶ σωμάτων παύεις
δεινὰ ἀρρωστήματα·
ὅθεν συνελθόντες,

102 πλήρωσιν] πήρωσιν Do Py Lo Pv 108 ἐπιστρέψας Lo ἔστρεψας Ea 109 καὶ διέσωσας Py Pv 110 ἀβλαβεῖς πανεύφημε Py Pv 115 με om. Lo 116 μεσιτείαις Ea
heirm. καθ. MR I, 68; hoc κάθ. in Ea canoni praeponitur, ipsum κάθ. post oden γʹ praebet Lo 2 λόγον σεπτὸν Ea 8-9 versus om. in Lo

111 Ps. 71,6

τὴν ἁγίαν σου πάντες
τελοῦμεν πανήγυριν,
τὸν σωτῆρα δοξάζοντες
καὶ πιστῶς ἐκβοῶμέν σοι·
« πρέσβευε Χριστῷ τῷ Θεῷ
τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι
τοῖς ἑορτάζουσι πόθῳ τὴν μνήμην σου ».

ᾠδὴ ζʹ. *Παῖδες θεοσεβεῖς ἐν Βαβυλῶνι*

Πόνοις προσομιλῶν διηνεκέσιν,
τοὺς πόνους, Ἰάσον, ἐπεκούφισας
τῶν πιστῶν καὶ πρὸς ἄπονον
λῆξιν ὡδήγησας,
εὐσεβῶς Χριστῷ ἀναμέλποντας·
« εὐλογητὸς ὁ Θεός,
ὁ τῶν πατέρων ἡμῶν ».

f. 235 ‖ Ῥώμην ἀνέστειλας κακίας, μάκαρ,
καὶ γνῶσιν ἐφύτευσας σωτήριον
ἐν φρεσὶ τῶν ἀνθρώπων,
ὑφ' ἧς φωτιζόμενοι,
τῷ δεσπότῃ πάντες ἐκραύγαζον·
« εὐλογητὸς ὁ Θεός,
ὁ τῶν πατέρων ἡμῶν ».

Ὄρος ἐναποστάζον θείαν δρόσον
ἐφάνης, Ἰάσον παναοίδιμε,
καὶ βουνοὺς τῆς ἀπάτης
καὶ ὄρη ἐλέανας
καὶ πιστοὺς κραυγάζειν ἐδίδαξας·

17 τὴν ἁγίαν μνήμην σου Lo
heirm. ζʹ EE 227, n. 325, Joannis 117 διηνεκῶς Lo 121 Χριστῷ] αὐτοὺς Py Lo Ea Pv 124 μάκαρ] παμμάκαρ Do 127 φωτιζόμενος Ea 128 πάντων Py Lo Ea κραυγάζουσιν Lo ἐκραυγάζων Ea 133 βουνὸς Ea 134 ἐλέανας] ἐλέπτυνας Lo 135 ἐδίδαξας] ἐπαίδευσας Py

122-123 Dan. 3,52 129-130 Dan. 3,52

« εὐλογητὸς ὁ Θεός,
ὁ τῶν πατέρων ἡμῶν ».

θεοτ. Φέρουσα τὸν Χριστὸν ἐν ταῖς ἀγκάλαις
ὡς θρόνος πυρίμορφος, πανάμωμε,
ἐκδυσώπει αὐτόν,
ὡς υἱόν σου καὶ κύριον,
εἰρηνεῦσαι κόσμον κραυγάζοντα·
« εὐλογητὸς ὁ Θεός,
ὁ τῶν πατέρων ἡμῶν ».

ᾠδὴ η'. *Οἱ θεορρήμονες παῖδες ἐν καμίνῳ*

Ῥιζοτομήσας ἀκάνθας δυσφημίας
σπόρῳ τοῦ λόγου, Ἰάσον,
ἑκατοστεύοντας στάχυας,
τὴν τῶν ἀνασωθέντων
πληθὺν ἐγεώργησας.

Ὁ φωτισμὸς τῶν ἐν σκότει σε φωστῆρα
Ταρσοῦ προβάλλεται, μάκαρ,
τὸν ταύτης θρόνον διέποντα
ἱερῶς καὶ ὁσίως,
Ἰάσον ἀπόστολε.

Νενομισμένως διδάσκων τοὺς ματαίᾳ
καθυποκύψαντας πλάνῃ
ἕνα Θεὸν σέβειν ἄκτιστον,
τοὺς τῆς πίστεως σέβας
προσάγοντας ἔσωσας.

138 τὸν om. Ck Ea 142 κράζοντα Lo
heirm. η' EE 227, n. 325, Joannis Lo hunc ordinem troparium exhibet: III. I. II. 147 ἑκατοστεύοντα Py Lo 148 ἄνω σωθέντων Lo 152 ταύτης] αὐτῆς Ea διέποντα] περιέποντα Ea troparium vv. 155-159 om. Ea 155 νενομισμένος Py Lo 158 τοὺς τῇ κτίσει τὸ σέβας Do τοὺς τοῖς κτίσμασι σέβας Py Lo Pv

136-137 Dan. 3,52 143-144 Dan. 3,52

Ὡς οὐρανὸς διηγήσω, θεορρῆμον,
δόξαν Θεοῦ κενωθέντος
καὶ τοὺς βροτοὺς οὐρανώσαντος·
διὰ τοῦτό σε πίστει,
Ἰάσον, δοξάζομεν.

θεοτ. * Σύμβολα φέρουσα πάλαι τοῦ σοῦ τόκου,
τοὺς νεανίας οὐ φλέγει,
παρθενομῆτορ, ἡ κάμινος,
ὡς οὐδὲ τὴν νηδύν σου
τὸ πῦρ τῆς θεότητος.

ᾠδὴ θ'. *Ὅρους παρῆλθες τῆς φύσεως*

Ἱερωτάτους στησώμεθα
ἅπαντες χορούς, ἱερῶς μακαρίζοντες
Ἰάσονα τὸν μέγαν
Χριστοῦ ἀπόστολον,
χοροῖς τῶν ἀσωμάτων
διὰ παντὸς ἐπευφραινόμενον.

Ὤφθης φωστὴρ διαυγέστατος
ταῖς ἀνατολαῖς τῶν πανσόφων λογίων σου,
ἀκτῖσί τε θαυμάτων,
f. 235v || σοφὲ ἀπόστολε,
φωτίζων οἰκουμένης,
μάκαρ Ἰάσον, τὰ πληρώματα.

Σκιρτᾷ ἡ κτίσις χορεύουσα
νῦν ἐν τῇ σεπτῇ πανηγύρει σου, ἔνδοξε,

160 οὐρανοὺς Py 161 καὶ δόξαν Ea 163 σε] ἐν Pv 164 δοξάζομεν] γεραίρομεν Lo 165-169 θεοτ. MR IV, 322. Pro hoc θεοτ., aliud invenimus in Py Lo, Pv: Σεσαρκωμένον τεκοῦσα Θεὸν Λόγον / τὰ τῆς σαρκὸς ἡμῶν πάθη / καὶ τῆς ψυχῆς, κόρη, ἴασαι, / ἵνα πίστει σε πάντες / καὶ[1] πόθῳ δοξάζωμεν. [1] καὶ om. Lo
heirm. θ' EE 221, n. 316, Joannis 170 versus om. Lo 171 ἅπαντες χοροὺς om. Lo 175 ἐπευφραινόμενος Lo συνευφραινόμενον Pv 176 διαυγέστατος] φαεινότατος Py Lo Pv 177 λογίων σου] δογμάτων σου Py Pv

161 Filip. 2,7 166-167 Dan. 3,46-50

ἀπόστολοι, προφῆται
ὄντως καὶ μάρτυρες
ἀγάλλονται, Ἰάσον,
μεθ' ὧν σε πάντες μακαρίζομεν.

Ἡ θήκη ἔνθα κατάκειται
τὸ καρτερικὸν καὶ πολύαθλον σῶμά σου,
Ἰάσον, τὰς ἀκτῖνας
ἐκπέμπει πάντοτε
καὶ σκότος νοσημάτων
διασκεδάζει, παμμακάριστε.

θεοτ. Φανεῖσα μήτηρ, πανάμωμε,
τοῦ Ἐμμανουὴλ σαρκωθέντος ἐκ μήτρας σου,
ἐθέωσας τὴν φύσιν
τῆς ἀνθρωπότητος·
διό σε, παναγία
θεοκυῆτορ, μακαρίζομεν.

185 ὄντως καὶ] καὶ πάντες Py Lo Pv 187 πάντες] πίστει Py Lo Pv 188-194 troparium om. Lo 190 ἰάσεων ἀκτῖνας Py Ea Pv 195 ἐν μήτρᾳ σου Do Py Ea

195 Matth. 1,23.

IN SANCTUM MEMNONEM

Synaxarium, 637: Οὗτος ἐξ ἁπαλῶν ὀνύχων τῷ Θεῷ ἑαυτὸν ἀνέθηκε, δοχεῖον καθαρὸν τοῦ ἁγίου γενόμενος πνεύματος. Ὑποτάξας γὰρ τὴν σάρκα τῷ πνεύματι καὶ ἄρξας παθῶν σαρκικῶν καὶ σκληραγωγίᾳ βιαίᾳ καὶ ἐπιπόνῳ κατατήξας ἑαυτόν, ἐγένετο καὶ μοναστῶν ἀρχηγός. Καὶ βίον ἀγγελικὸν βιώσας, τὴν τῶν θαυμάτων χάριν ἐπλούτησε τοῦ θεραπεύειν πάθη ἀνίατα. Ὅθεν καὶ ῥείθροις δακρύων τὴν ψυχὴν ἀποσμήξας, ὕδατα ἐν αὐχμηρῷ τόπῳ βλύσαι παρεσκεύασεν· καὶ βυθῷ θαλάσσης μόνον φανεὶς πλωτῆρας χειμαζομένους πολλάκις διεσώσατο, ἀλλὰ καὶ ἀκρὶς μόνῃ αὐτοῦ ἐπικλήσει φυγαδεύεται. Ἐν τούτοις καλῶς βιώσας πρὸς Κύριον ἐξεδήμησεν.

Crypt. Δ.α. XVII — Ck, ff. 236v-240v
Crypt. Δ.α. VIII — Do, ff. 107-109v
Paris. gr. 1564 — Py, ff. 66v-68
Vat. gr. 2008 — Vm, ff. 178-179
Reg. gr. 61 — Lo, ff. 92v-96
Vallic. gr. E 54 — Ea, ff. 235-235v
Paris. Coislin gr. 309 — H, ff. 221v-225

Ὁ κανὼν φέρων ἀκροστιχίδα·
Τὸν φωσφόρον σου, Μέμνων, δοξάζω βίον· Ἰωσήφ.

Ἦχος δ'.

ᾠδὴ α'. *Θαλάσσης τὸ ἐρυθραῖον πέλαγος*

Τῇ θείᾳ τοῦ παναγίου πνεύματος
ἀστράπτων χάριτι,
τοὺς τὴν φωσφόρον μνήμην καὶ σεπτὴν

tit. Μηνὶ τῷ αὐτῷ ΚΔ' Lo
Τοῦ ὁσίου καὶ θαυματουργοῦ Μέμνονος τοῦ ἐν Λυκίᾳ Py; acr. om. Ea acr. nominis Ἰωσὴφ in margine in Do Py om. Lo H
heirm. α' EE 94, n. 133, Joannis 1 τὴν θείαν Ea παναγίου] παρακλήτου H 3 μνήμην] Μέμνων Lo Ea H ταύτην Do

ἐκτελοῦντάς σου κοίμησιν
φωτιστικῇ πρεσβείᾳ σου
παθῶν ἀχλύος ἀποκάθαρον.

Ὁσίως τὸν σὸν σταυρὸν ἀράμενος,
κατηκολούθησας
τῷ σαρκωθέντι Λόγῳ δι᾽ ἡμᾶς
καὶ σαρκὸς τὰ σκιρτήματα
δι᾽ ἐγκρατείας, ὅσιε,
καὶ χαμευνίας ἀπενέκρωσας.

Νηστείαις καὶ προσευχαῖς καὶ δάκρυσιν
Θεῷ ἑνούμενος,
καθυπεδέξω χάριν παρ᾽ αὐτοῦ
θεραπεύειν νοσήματα
καὶ ἀπελαύνειν πνεύματα,
Μέμνων θεόφρον παμμακάριστε.

θεοτ. Φορέσας Θεὸς ἐκ σοῦ τὸν ἄνθρωπον
δι᾽ ἀγαθότητα,
διπλοῦς προῆλθεν, ἄχραντε ἁγνή,
ἐνεργείαις καὶ φύσεσιν,
ὃν ἐκδυσώπει πάντοτε
φωταγωγῆσαι τοὺς ὑμνοῦντάς σε.

f. 237 || ᾠδὴ γ᾽. *Εὐφραίνεται ἐπὶ σοὶ*

Ὡς ἥλιος ἐπὶ γῆς
τῶν ἀρετῶν τῷ φωτισμῷ ἔλαμψας,
πάντων ψυχάς, ὅσιε,
χάριτι φωτίζων τοῦ πνεύματος.

5 φωτιστικαῖς πρεσβείαις σου Lo 9 σαρκωθέντι] σταυρωθέντι Py Lo H 10 σκιρτήματα] κινήματα Py Lo Ea H hic v. 17 repetit H 12 χαμευνίαις Lo 14 αἰνούμενος Lo 15 αὐτῷ H 16 θεραπεύεις Lo 17 ἀπελαύνεις Lo 19 Θεὸς ἐκ σοῦ] ἐκ σοῦ Θεὸς Py Lo Ea H 20 διαγαθότητι Lo 24 τοὺς ὑμνοῦντάς σε] τὰς ψυχὰς ἡμῶν Py Lo Ea H

heirm. γ᾽ EE 94, n. 133, Joannis 27 πάντας πιστούς, ὅσιε Py

Σιδήρῳ σου τὴν ὀσφὺν
περιζωσάμενος, παθῶν νέκρωσιν
ἔσχες σαφῶς, ὅσιε
Μέμνων, στολισθεὶς τὴν ἀπάθειαν.

Φιλάνθρωπος γεγονὼς
τοῖς ἀσθενοῦσιν, ἐκ Θεοῦ εἴληφας
χάριν πολλήν, ὅσιε,
πάθη θεραπεύειν ἀνίατα.

θεοτ. Ὁ Λόγος ὁ τοῦ Θεοῦ
σοῦ τὴν ἀμόλυντον νηδὺν ᾤκησεν
καὶ τῶν βροτῶν, ἄχραντε,
πᾶσαν ἁμαρτίαν ἐξῴκησεν.

f. 237v || ᾠδὴ δ᾽. *Ἐπαρθέντα σε ἰδοῦσα ἡ ἐκκλη[illegible]*

Ῥείθροις, ὅσιε, δακρύων τὴν σὴν καρδί[illegible]
ἀποκαθάρας, ὕδατα
αὐχμηρῷ ἐν τόπῳ
βλύζειν παρεσκεύασας,
Θεοῦ σε δοξάζοντος,
Μέμνων, ὡς οἰκεῖον θεράποντα.

Ὁ περίδοξός σου βίος τοῖς ἄστροις φαιν[illegible]
τῶν ἱερῶν θαυμάτων σου,
ἄλλον οὐρανόν σε
δείκνυσιν, μακάριε,
τοῖς πίστει κραυγάζουσιν·
« δόξα τῇ δυνάμει σου, κύριε ».

Νόμοις, ὅσιε, πειθόμενος τοῦ δεσπότου,
τοὺς ὑπὸ σὲ ὡδήγησας

29-32 troparium om. H 35 πολὺν Lo 36 θεραπε[illegible] Ea 40 δέσποινα παρθένε διέσωσεν H ἐξοίκησεν Lo

heirm. δ᾽ EE 94, n. 133, Joannis 43 ἐν αὐχμηρῷ [illegible] Py Lo Ea H 44 βλύζων Lo 45 δοξάσαντος Lo Ea δοξάζοντες H [illegible]8 σου om. Ea 51 κραυγάζουσιν] κραυγάζειν Ea ὑμνοῦσί σε H 52 πά[illegible]ὰ σεπτὰ προτερήματα H 53 δεσπότου] σωτῆρος Py Ea 54 σὲ] σ[illegible] Lo H

ποιμάνας ὁσίως,
πολυπλασιάσας τε
ὡς δοῦλος ὑπήκοος
τὸ δεδωρημένον σοι τάλαντον.

θεοτ. Συνωθούμενον τὸν νοῦν μου, θεοκυῆτορ,
πρὸς ἡδονὰς τοῦ σώματος,
τῇ σῇ μεσιτείᾳ
δέομαι στερέωσον,
ἡ μόνη κυήσασα
τὸν ἀγαθοδότην Θεὸν ἡμῶν.

f. 238 ‖ ᾠδὴ ε΄. *Σύ, κύριέ μου, φῶς*

Ὁ νοῦς σου ταῖς πυκναῖς
πρὸς τὸ θεῖον συννεύσεσι
φῶς γέγονε, θεομάκαρ,
σαρκικῶν ἡδονῶν τε
ἐφάνη ὑψηλότερος.

Ὑπάρχων ἰατρὸς
τῶν σωμάτων, πανόλβιε,
ἀπήλαυνες τὰς ἀλόγους
τῶν ψυχῶν ἀρρωστίας
τῇ χάριτι τοῦ πνεύματος.

Μακάριος εἶ σὺ
καὶ καλῶς σοι γεγένηται
νικήσαντι τὴν κακίαν
τοῦ ἐχθροῦ καὶ τὰ πάθη,
παμμάκαρ, θανατώσαντι.

θεοτ. Ἐκύησας Θεὸν
καὶ παρθένος διέμεινας,

56 καὶ πολυπλασίως τὲ Lo πολυπλασίας τε Ea 58 σοι] σοῦ Ea 64 Θεὸν ἡμῶν] καὶ κύριον Lo
heirm. ε΄ EE 94, n. 133, Joannis 66 συνέσεσι H 69 ἐφάνης Lo Ea 72 ἀπελαύνεις Lo ἀπήλαυνας H 79 θανατώσαντος H

θεόνυμφε, διὰ τοῦτο
μακαρίζει σε πᾶσα
ἀνθρώπων γλῶσσα χαίρουσα.

f. 238ᵛ ‖ ᾠδὴ ς΄. *Θύσω σοι*
μετὰ φωνῆς αἰνέσεως, κύριε,

Μόνη σοῦ
ἐπικλήσει ἀκρὶς φυγαδεύεται,
πᾶσά τε βλάβη δαιμόνων·
τοῦ Θεοῦ γάρ, Μέμνων, μέγας θεράπων
ἐγνωρίσθης,
τοῦ μεγάλως σε, πάτερ, δοξάσαντος.

Νικήσας
τὸ τῆς σαρκὸς ἐπίβουλον φρόνημα,
πνεύματος χάριν ἐδέξω
φυγαδεύειν νόσους καὶ ἀρρωστούσας
ἁμαρτίαις
ἰατρεύειν ψυχάς, ἀξιάγαστε.

Ὢ θαῦμα·
πῶς ἐκ μόνης προσκλήσεως σώζονται
σοῦ, παναοίδιμε Μέμνων,
οἱ πλωτῆρες, σὲ θεασάμενοι
ἐποφθέντα
καὶ κυμάτων τὸν σάλον πραΰνοντα;

θεοτ. Νέκρωσον
τῆς σαρκός μου, παρθένε, τὸ φρόνημα,
τὸν νεκρωτὴν τοῦ θανάτου

heirm. ς΄ EE 94, n. 133, Joannis 85 σὺ Ck 87 τε [illegible] H 89 Hic in Ea abrumpitur hymnus 90 σε, πάτερ, δοξάσαντος] ἀ[illegible] δοξάζοντος H 91 οἰκήσας Lo 94 φυγαδεύων νόσους καὶ ἀρρωστούντων Lo 95 ἁμαρτίᾳ H 96 ψυχὰς] παθῶν H 97-102 troparium om. H 100 [illegible]στοὶ πλωτῆρες σὲ κατιδόντες Py Lo καθιδόντες Lo 101 ἐπωφθέντες (sic) Lo [illegible] πραΰναντα Do 104 παρθένε, τὸ φρόνημα] τὸ φρόνημα δέομαι Lo

καὶ ζωῆς δοτῆρα ὡς συλλαβοῦσα
καὶ τεκοῦσα
ὑπὲρ λόγον καὶ ἔννοιαν, πάναγνε.

f. 239 ‖ Κάθισμα.

Ἦχος πλ. δ'. *Τὴν σοφίαν τοῦ Λόγου*

Ὡς ἀστέρα σε πάντες φωτοειδῆ
ἀρετῶν καὶ θαυμάτων μαρμαρυγαῖς
τὸν κόσμον φωτίζοντα
εὐφημοῦμεν, μακάριε·
κοινωνὸς γὰρ θείας
λαμπρότητος γέγονας
καὶ πρὸς φέγγος, Μέμνων,
μετέβης τὸ ἄδυτον·
ὅθεν τὴν φωσφόρον
καὶ ἁγίαν σου μνήμην
τιμῶμεν ἑκάστοτε,
τὸν σωτῆρα δοξάζοντες
καὶ συμφώνως βοῶμέν σοι·
« πρέσβευε Χριστῷ τῷ Θεῷ
τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι
⟨τοῖς ἑορτάζουσι πόθῳ τὴν μνήμην σου⟩ ».

ᾠδὴ ζ'. *Ἐν τῇ καμίνῳ*

Δακρύων ὄμβροις
παθῶν κατέσβεσας κάμινον·
νῦν δὲ
τῷ πυρί, μακάριε, ἀληθῶς
καταφλέγεις τῶν θαυμάτων σου

106 ὡς] ἡ Py Lo H
heirm. καθ. MR I, 68; hoc κάθ. post oden γ' in Lo, om. in Vm H
2 μαρμαρυγὰς Ck Lo 11 τιμῶμεν] τιμῶντες Py Lo 12 δοξάζομεν Py Lo
15 post δωρήσασθαι sequitur in Lo ἡμῖν τοῖς ἑορτάζουσι 16 cfr. καθ. p. 345
heirm. ζ' EE 94, n. 133, Joannis 110 παθῶν] τὴν τῶν παθῶν Vm
ἔσβεσας H 113 κατεφλέχθης Lo

ὑλώδη πάντοτε
ἀρρωστημάτων βλάβην ἐν χάριτι.

Ὁλοκαρδίως
τὸν ποιητήν σου, μάκαρ, ἠγάπησας·
ὅθεν
καὶ σαρκὸς καὶ κόσμου, Μέμνων σοφέ,
ἀναμέλπων, ἔξω γέγονας·
« εὐλογημένος εἶ
ἐν τῷ ναῷ τῆς δόξης σου, κύριε ».

Ξύλον καθάπερ
ἐν διεξόδοις πεφανέρωσαι,
πάτερ,
φυτευθεὶς ἀσκήσεως τοὺς καρποὺς
καὶ θαυμάτων τὴν ἐνέργειαν,
Μέμνων, ἀπέδωκας
ἐν εὐθέτῳ καιρῷ εὐθηνότατα.

Ἀκρίδος βλάβην
προσγινομένην ἀνέστειλας,
ταύτην
προσταγαῖς ἐνθέοις, Μέμνων σοφέ,
ποταμίοις πνίξας ὕδασιν,
« εὐλογημένος εἶ
ὁ Θεός μου » κραυγάζων « καὶ κύριος ».

θεοτ. * Ζάλης ἀμέτρων
ἁμαρτημάτων, κόρη, ῥῦσαί με,
μόνη

115 ἐν χάριτι | ἔπαυσας Lo 116 ὁλογκαρδίως H 121 [illegible]μένος (sic) Do
123-129 troparium om. H 123 ξύλω Lo 124 πεφανέρ[illegible]] θείοις πεφανέρωσαι Vm ὑδάτων σαφῶς Lo ὑδάτων σοφέ Py 131 π[illegible]νομένην τῇ γῇ ἀνέστειλας Vm προσγενομένην Lo προσγινομένην] προσγενομένην [illegible] 133 Μέμνων σοφέ] θαυματουργέ Py Lo H 136 ἐν τῷ ναῷ .... H 137-143 θεοτ. PID πς' 137 ἀμέτρου Lo 139 σὺ μόνη Vm

121-122 Dan. 3,53

ταπεινῶν βοήθεια κραταιὰ
καὶ πταιόντων ἱλαστήριον·
εὐλογημένη γὰρ
ἐν γυναιξὶν ὑπάρχεις, πανάμωμε.

f. 239v || ᾠδὴ η'. *Χεῖρας ἐκπετάσας Δανιὴλ*

Ὡς ὄρθρος ἐκλάμψας, ὡς ἀστήρ,
ὡς μέγας ἥλιος,
Μέμνων θεόπνευστε,
ψυχὰς ἐφώτισας χάριτι,
ὁδηγόν σε σχούσας ἄριστον
καὶ παιδοτρίβην ἱερὸν
καὶ παιδευτὴν θαυμαστόν,
ἐκβοῶντα·
« πάντα τὰ ἔργα ὑμνεῖτε τὸν κύριον ».

Βαθεῖαν πληγὴν τῷ δυσμενεῖ
γεννῶσαν θάνατον,
παμμάκαρ, δέδωκας,
ἡνίκα χάριτι πνεύματος
ταπεινὸν ἐκτήσω φρόνημα
καὶ τὴν ὑλόφρονα αὐτοῦ
γνώμην εἰς γῆν ταπεινῶν
καὶ παγίδων
τῶν ψυχοφθόρων αὐτοῦ ἀμφιστάμενος.

Ἰδεῖν ἠξιώθης τὴν ἐκεῖ
μακαριότητα

141 πταιόντων] πταισμάτων Do Lo H πεσόντων PID 142 καὶ καταφύγιον PID γὰρ] σὺ Do Py Vm Lo H 143 καὶ παράκλησις θεία καὶ γέφυρα PID ὑπάρχεις, πανάμωμε] πανάμωμε δέσποινα Do Py Vm Lo

heirm. η' EE 94, n. 133, Joannis 146 θεσπέσιε Py 147 χάριτι] ὅσιε H 148 σχούσαις H 149 καὶ παιδευτήν τε θαυμαστὸν H 150 ἀεὶ κραυγάζοντα H 151 ἐκβοῶντα] ἐκβοώντων Lo εὐλογεῖτε H 153-161 troparium om. H 158 καὶ τὴν ὑλόφρονα] τὴν ὑψηλόφρονα Do Py Vm Lo 161 ἀφιστάμενος Do Vm ἀφιπτάμενος Py ἐφ' ὑπτάμενος (sic) Lo

142-143 Luc. 1,42

καὶ τὴν ἀπόλαυσιν
τὴν αἰωνίζουσαν, ἅγιε,
καὶ ἁγίων τὰς λαμπρότητας
πολιτευσάμενος καλῶς,
καὶ νῦν βοᾷς ἐν χαρᾷ·
« εὐλογεῖτε
πάντα τὰ ἔργα κυρίου τὸν κύριον ».

Ὁ τόπος ὁ ἄνυδρος τὸ πρίν,
νυνὶ δὲ ἔνυδρος
κηρύττει, ὅσιε,
τὴν πρὸς τὸν κύριον πίστιν σου
καὶ τὴν χάριν τῶν θαυμάτων σου,
ὧνπερ ἐτέλεσας βοῶν
τῷ χορηγῷ τῶν καλῶν·
« εὐλογεῖτε
πάντα τὰ ἔργα κυρίου τὸν κύριον ».

f. 240 θεοτ. || Νοσοῦσαν τῷ βάρει τῶν δεινῶν
καὶ κινδυνεύουσαν
τὴν ταπεινήν μου ψυχήν,
θεοχαρίτωτε δέσποινα,
ἐπισκέψεως ἀξίωσον
καὶ ὑγιῆ ὁλοτελῶς
δεῖξον, κραυγάζουσαν·
« εὐλογεῖτε
πάντα τὰ ἔργα κυρίου τὸν κύριον ».

ᾠδὴ θ'. *Λίθος ἀχειρότμητος ὄρους*

Ἴσχυσας δεσμούμενος κράτει
θεαρχικῷ, Μέμνων θεόφρον,
πᾶσαν τοῦ ἐχθροῦ δυναστείαν

176 ἐτέλεσας βοῶν] ἐτέλεις ἐκβοῶν H 180-188 θεο[illegible] om. H, cuius in locum hoc alterum substituit: Σὺ μόνη ἐν πάσαις γενεαῖς, π[illegible]ένε ἄχραντε . . . MR I, 84 186 δεινῶν κραυγάζουσα Lo

heirm. θ' EE 94, n. 133, Joannis 189 δεσμούμενος] σ[illegible]μενος Py Lo H 190 θεαρχικῇ H

169-170, 178-179, 187-188 Dan. 3,57

καταπαλαῖσαι·
ὅθεν τὸν στέφανον
ὡς νικηφόρος εἴληφας,
ὑπὲρ ἡμῶν Χριστῷ δεόμενος.

Ὥσπερ ἐκ πηγῆς, τῆς σῆς θήκης
ῥεῖθρον ἰάσεων πηγάζει
καὶ ἀρρωστημάτων τὸν ῥύπον
δυνάμει θείου
καθαίρει πνεύματος
καὶ καταρδεύει, ὅσιε,
τὰς διανοίας τῶν τιμώντων σε.

f. 240v || Σήμερον ἡ μνήμη σου, πάτερ,
καθάπερ ἥλιος φωτίζει
πᾶσαν ἡλικίαν καὶ φρένα·
φωτὸς γὰρ ἔργα,
Μέμνων, ἐτέλεσας
καὶ πρὸς τὸ φῶς τὸ ἄδυτον
νῦν ἐκδημήσας κατεσκήνωσας.

Ἤρθης πρὸς μονὰς αἰωνίους,
Θεὸν ὡς θέμις κατοπτεύων
καὶ ταῖς τῶν ὁσίων ἀγέλαις
συναγελάζων,
Μέμνων μακάριε,
μεθ' ὧν ἡμῶν μνημόνευε,
τῶν ἐπὶ γῆς μνημονευόντων σου.

θεοτ. Φωνήν σοι βοῶμεν, παρθένε,
περιχαρῶς τοῦ ἀρχαγγέλου·
χαῖρε, τῆς κατάρας ἡ λύσις,
ὁσίων δόξα,
πατέρων καύχημα
καὶ προφητῶν τὸ κήρυγμα
καὶ τῶν ἀνθρώπων τὸ διάσωσμα.

---

195 χριστοῦ Py χριστὸν Lo 197 πηγάζεις Lo 199 θεία Lo 204 καταφωτίζει πᾶσαν κτίσιν H 205 ἡλικίαν] ἡλίαν (sic) Lo 206 γὰρ] δὲ Lo 210-216 troparium om. Lo H. Pro hoc troparium aliud praebet H, inc.: Ἡ μνήμη σου ἡ πλησιφαὴς ἀνέτειλε EL 62 (1948) 358 210 αἰωνίους] ἀειζώους Py 211 κατοπτεύων] καθοπτεύων Ck 214 μακάριε] πανόλβιε Py

30 APRIL. CANON XXXV

IN SS. MAXIMUM, DADAM ET QUINTILIANUM

Synaxarium, 636-638*: Ἄθλησις τῶν ἁγίων μαρτύρων Μαξίμου, Δάδα καὶ Κυντιλλιανοῦ. Οὗτοι ὑπῆρχον κατὰ τοὺς χρόνους Μαξιμιανοῦ καὶ Μαξιμίνου καὶ Γαβινίου καὶ Ταρκυΐνου τῶν ὑπάτων· ὥρμηντο δὲ ἐκ πόλεως Δοροστόλου τῆς δευτέρας Μυσίας. Τούτων δὲ ὁ ἅγιος Μάξιμος ἀναγνώστης ἦν τῆς καθολικῆς ἐκκλησίας, καλῶς τὰς θείας ἐξησκημένος γραφὰς καὶ διδασκαλίαις τοὺς σὺν αὐτῷ ἁγίους νουθετῶν καὶ πρὸς τὴν εἰς Χριστὸν πίστιν ἐπιβεβαιῶν καὶ στηρίζων· διά τοι τοῦτο καὶ πρὸς τοὺς ὑπάτους διαβληθεὶς ἤχθη μετὰ Δάδα καὶ Κυντιλλιανοῦ εἰς ἐξέτασιν. Μεθ' ὧν τὸ ἀνένδοτον τῆς γνώμης ἐπιδειξάμενος, καὶ τὸν Χριστὸν παρρησίᾳ ὁμολογήσας, πρῶτον μὲν ἐν τῇ φυλακῇ μετὰ τῶν συνάθλων ἐμβάλλεται, ἔνθα ὑπὸ θείου ἀγγέλου ἐνεπλήσθησαν θάρσους. Ἔπειτα ἀχθέντες σφοδραῖς κατεξάνθησαν μάστιξι, γυμνοὶ κατὰ τῆς γῆς ἐκταθέντες καὶ οὕτως τοὺς αὐχένας ἐτμήθησαν, προστάξει τῶν ὑπάτων ἐπενεχθέντες ἐν τῷ αὐτῶν κτήματι οὕτω λεγομένῳ Ὀζοβία, ἔνθα διάγοντες συνελήφθησαν..... Ἐπανήχθησαν δὲ τὰ τίμια λείψανα αὐτῶν ἐν Κωνσταντινουπόλει καὶ κατετέθησαν ἐν τῷ ναῷ τῆς ὑπεραγίας Θεοτόκου ἐν τοῖς Βιγλεντίου, ἐν ᾗ καὶ ἡ σύναξις αὐτῶν τελεῖται.

Crypt. Δ.α. XVII — Ck, ff. 242-246

Ὁ κανών.

Ἦχος πλ. δ'.

ᾠδὴ α'. *Ἄισωμεν τῷ κυρίῳ*

f. 242v || Ὦ φιλέορτοι, δεῦτε
δόμον τῶν μαρτύρων ἐπιφθάσαντες,
ὕμνοις τῶν ἐγκωμίων
τοὺς ἀξίους τιμήσωμεν μάρτυρας.

---

* in die XXVIII aprilis

tit. Τοῦ ἁγίου ἀποστόλου Ἰακώβου ἀδελφοῦ Ἰωάννου τοῦ Θεολόγου, τοῦ ἁγίου μάρτυρος Κυντιανοῦ καὶ τῶν σὺν αὐτῷ Ὁ κανὼν τῶν μαρτύρων.

heirm. α' EE 224, n. 321, Joannis

Ζάλης κυμαινομένης
κατὰ πᾶσαν πόλιν διατάγματα
ἀσεβῶν προσταγμάτων
